# ⸂ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ⸃

1 III **1** Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαυὶδ υἱοῦ Gn 2,4; 5,1 · 18 · 9,27!
Ἀβραάμ.
**2** Ἀβραὰμ ἐγέννησεν τὸν Ἰσαάκ, Ἰσαὰκ δὲ ἐγέννησεν **2-17: L 3,23-38** · 1Chr
τὸν Ἰακώβ, Ἰακὼβ δὲ ἐγέννησεν τὸν Ἰούδαν καὶ τοὺς 1,34 · Gn 25,26; · 29,35
ἀδελφοὺς αὐτοῦ, **3** Ἰούδας δὲ ἐγέννησεν τὸν Φάρες καὶ *3-6a:* Rth 4,12.18-22
τὸν ⸀Ζάρα ἐκ τῆς Θαμάρ, Φάρες δὲ ἐγέννησεν τὸν 1Chr 2,4s.9 · Gn
Ἑσρώμ, Ἑσρὼμ δὲ ἐγέννησεν τὸν Ἀράμ, **4** Ἀρὰμ δὲ ἐγέν- 38,12-30 *4-6a:* 1Chr 2,10-12.15
νησεν τὸν Ἀμιναδάβ, Ἀμιναδὰβ δὲ ἐγέννησεν τὸν Ναασ-
σών, Ναασσὼν δὲ ἐγέννησεν τὸν Σαλμών, **5** Σαλμὼν δὲ
ἐγέννησεν τὸν ⸀Βόες ἐκ τῆς Ῥαχάβ, ⸀Βόες δὲ ἐγέννησεν Jos 2,1 H 11,31! · Rth
τὸν Ἰωβὴδ ἐκ τῆς Ῥούθ, Ἰωβὴδ δὲ ἐγέννησεν τὸν Ἰεσσαί, 4,13-17
**6** Ἰεσσαὶ δὲ ἐγέννησεν τὸν Δαυὶδ τὸν βασιλέα. 1Sm 17,12
Δαυὶδ δὲ ⸆ ἐγέννησεν τὸν Σολομῶνα ἐκ τῆς τοῦ Οὐ- *6b-11:* 1Chr 3,5.10-16 ·
ρίου, **7** Σολομὼν δὲ ἐγέννησεν τὸν Ῥοβοάμ, Ῥοβοὰμ δὲ 2Sm 11,3s; 12,24
ἐγέννησεν τὸν ⸀Ἀβιά, ⸀Ἀβιὰ δὲ ἐγέννησεν τὸν ⸁Ἀσάφ,
**8** ⸁Ἀσὰφ δὲ ἐγέννησεν τὸν Ἰωσαφάτ, Ἰωσαφὰτ δὲ ἐγέννη-
σεν τὸν Ἰωράμ, Ἰωρὰμ δὲ ἐγέννησεν τὸν Ὀζίαν, **9** Ὀζίας
δὲ ἐγέννησεν τὸν Ἰωαθάμ, Ἰωαθὰμ δὲ ἐγέννησεν τὸν
⸀Ἀχάζ, ⸀Ἀχὰζ δὲ ἐγέννησεν τὸν Ἑζεκίαν, **10** Ἑζεκίας δὲ
ἐγέννησεν τὸν ⸀Μανασσῆ, ⸀Μανασσῆς δὲ ἐγέννησεν τὸν
⸀¹Ἀμώς, ⸀¹Ἀμὼς δὲ ἐγέννησεν τὸν Ἰωσίαν, **11** Ἰωσίας δὲ | 3Esr 1,32

*Inscriptio*: ⸂ευαγγελιον κατα Ματθαιον (Μαθθαιον W 565) D K W Γ Δ *f*$^{13}$ 33. 565. 700. 892. 1424 𝔐 bo ¦ αγιον ευαγγελιον κατα Ματθαιον *f*$^{1}$ (bo$^{ms}$) ¦ αρχη συν θεω του κατα Ματθαιον ευαγγελιου 1241 ¦ εκ του κατα Ματθαιον L ¦ – א* B* ¦ *txt* א$^{1}$ B$^{1}$
¶ **1,3** ⸀Ζαρε 𝔓$^{1}$ B mae • **5** ⸀*bis* Βοοζ K L Γ Δ *f*$^{1.13}$ 565. 700. 892. 1241. 1424. (W 579) 𝔐 lat ¦ Βοος C 33 g$^{1}$* ¦ *txt* 𝔓$^{1}$ א B *l* 844. *l* 2211 k co • **6** ⸆ ο βασιλευς C K L W Δ 33. 565. 892. 1241. 1424. *l* 844. *l* 2211 𝔐 lat sy$^{h}$ ¦ *txt* 𝔓$^{1}$ א B Γ *f*$^{1.13}$ 579. 700 g$^{1}$ k vg$^{mss}$ sy$^{s.c.p}$ co • **7/8** ⸀*bis* Αβιουδ *f*$^{13}$ it sy$^{hmg}$ | ⸁*bis* Ασα K L W Γ Δ 33. 565. 579. 892. 1241. 1424 𝔐 (a) f ff$^{1}$ vg sy ¦ *txt* 𝔓$^{1vid}$ א B C *f*$^{1.13}$ 700. *l* 844. *l* 2211 it sy$^{hmg}$ co • **9** ⸀*bis* Αχας א$^{1}$ (Αχαζ Αχας א*) C 1424$^{c}$ g$^{1}$* (k) q mae bo$^{ms}$ ¦ *txt* B K L W Γ Δ Θ *f*$^{1.13}$ 33. 565. 700. 892. 1241. 1424*. *l* 844. *l* 2211 𝔐 lat • **10** ⸀Μανασσην Δ 1424. *l* 844. *l* 2211 | ⸀Μανασση א$^{1}$ B | ⸀¹*bis* Αμων K L W *f*$^{13}$ 565. 579. 700. 892. 1241. 1424. *l* 844. *l* 2211 𝔐 lat sy mae ¦ *txt* א B C Γ Δ Θ *f*$^{1}$ 33 it vg$^{mss}$ sa bo

ἐγέννησεν ⸆ τὸν Ἰεχονίαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ ἐπὶ
τῆς μετοικεσίας Βαβυλῶνος.
1Chr 3,17 **12** Μετὰ δὲ τὴν μετοικεσίαν Βαβυλῶνος Ἰεχονίας
1Chr 3,19 𝔊 Esr 3,2 ἐγέννησεν τὸν Σαλαθιήλ, Σαλαθιὴλ δὲ ἐγέννησεν τὸν Ζο-
ροβαβέλ, **13** Ζοροβαβὲλ δὲ ἐγέννησεν τὸν Ἀβιούδ, Ἀβι-
οὺδ δὲ ἐγέννησεν τὸν Ἐλιακίμ, Ἐλιακὶμ δὲ ἐγέννησεν
τὸν Ἀζώρ, **14** Ἀζὼρ δὲ ἐγέννησεν τὸν Σαδώκ, Σαδὼκ δὲ
ἐγέννησεν τὸν Ἀχίμ, Ἀχὶμ δὲ ἐγέννησεν τὸν Ἐλιούδ,
**15** Ἐλιοὺδ δὲ ἐγέννησεν τὸν Ἐλεάζαρ, Ἐλεάζαρ δὲ ἐγέν-
νησεν τὸν Ματθάν, Ματθὰν δὲ ἐγέννησεν τὸν Ἰακώβ,
L 1,27 **16** Ἰακὼβ δὲ ἐγέννησεν τὸν Ἰωσὴφ ⸂τὸν ἄνδρα Μαρίας, ἐξ
27,17! 11,2! 16,16! ἧς ἐγεννήθη Ἰησοῦς ὁ λεγόμενος Χριστός⸃.

**17** Πᾶσαι οὖν αἱ γενεαὶ ἀπὸ Ἀβραὰμ ἕως Δαυὶδ γενεαὶ 2 X
δεκατέσσαρες, καὶ ἀπὸ Δαυὶδ ἕως τῆς μετοικεσίας Βα-
βυλῶνος γενεαὶ δεκατέσσαρες, καὶ ἀπὸ τῆς μετοικεσίας
Βαβυλῶνος ἕως τοῦ Χριστοῦ γενεαὶ δεκατέσσαρες.

**18-25: L 1,26-38** · 1 **18** Τοῦ δὲ ⸂Ἰησοῦ Χριστοῦ⸃ ἡ ⸀γένεσις οὕτως ἦν. 3 V
μνηστευθείσης τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσήφ, πρὶν
20 ἢ συνελθεῖν αὐτοὺς εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ πνεύ-
ματος ἁγίου. **19** Ἰωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς, δίκαιος ὢν καὶ 4 X
μὴ θέλων αὐτὴν ⸀δειγματίσαι, ἐβουλήθη λάθρᾳ ἀπολῦσαι
2,13.19 αὐτήν. **20** ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέντος ἰδοὺ ἄγγελος κυ-
ρίου κατ᾽ ὄναρ ἐφάνη αὐτῷ λέγων· Ἰωσὴφ υἱὸς Δαυίδ, μὴ
φοβηθῇς παραλαβεῖν ⸀Μαρίαν τὴν γυναῖκά σου· τὸ γὰρ ἐν
18 | 25 L 1,31! αὐτῇ γεννηθὲν ἐκ πνεύματός ἐστιν ἁγίου. **21** τέξεται δὲ
υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ
Ps 130,8 9,2.6; 20,28; 26,28 σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. **22** τοῦτο

**11** ⸆ τον Ιωακιμ Ιωακιμ δε εγεννησεν Θ *f*$^{1}$ 33 sy$^{h**}$; Ir$^{lat\ vid}$ • **16** ⸂ ω μνηστευθεισα παρθενος (− q), Μαριαμ εγεννησεν Ιησουν τον λεγομενον Χριστον Θ *f*$^{13}$ it (sy$^{s}$) ¦ ω μνηστευθεισα ην Μαριαμ παρθενος, ἣ ετεκεν Ιησουν Χριστον sy$^{c}$ ¦ *txt* 𝔓$^{1}$ ℵ B C K L P W Γ 33. 565. 579. 700. 892. 1241. 1424. *l* 844. *l* 2211. (− τον Δ, − Ιησους *f*$^{1}$) 𝔐 aur f ff$^{1}$ vg sy$^{p.h}$ co • **18** ⸂ Χριστου Ιησου B ¦ Ιησου W | ⸀ γεννησις K L Γ *f*$^{13}$ 33. 565. 700. 892. 1241. 1424. *l* 844 𝔐; Ir Or ¦ *txt* 𝔓$^{1}$ ℵ B C P W Z Δ Θ *f*$^{1}$ *l* 2211 sy$^{h}$; Eus • **19** ⸀ παραδειγματισαι ℵ$^{*.2}$ C K L P W Γ Δ Θ *f*$^{13}$ 33. 565. 579. 700. 892. 1241. 1424. *l* 844. *l* 2211 𝔐; Eus ¦ *txt* ℵ$^{1}$ B Z *f*$^{1}$ • **20** ⸀ Μαριαμ ℵ C D K P W Z Γ Δ Θ *f*$^{13}$ 33. 565. 700. 892. 1424. *l* 844. *l* 2211 𝔐 sy$^{h}$ ¦ *txt* B L *f*$^{1}$ 579. 1241 co

δὲ ὅλον γέγονεν ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ ⸆ κυρίου διὰ 2,15.17.23; 4,14; 8,17; 12,17; 13,35; 21,4;
⸇ τοῦ προφήτου λέγοντος· 26,56; 27,9

**23** *ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν,* *Is 7,14 𝔊*
*καὶ ⸀καλέσουσιν τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ,*

ὅ ἐστιν μεθερμηνευόμενον *μεθ᾽ ἡμῶν ὁ θεός*. **24** ⸀ἐγερθεὶς *Is 8,8.10 𝔊* 28,20!
δὲ ⸰ὁ Ἰωσὴφ ἀπὸ τοῦ ὕπνου ἐποίησεν ὡς προσέταξεν 21,6!
αὐτῷ ὁ ἄγγελος κυρίου καὶ παρέλαβεν τὴν γυναῖκα αὐ-
τοῦ, **25** καὶ οὐκ ἐγίνωσκεν αὐτὴν ἕως ⸰οὗ ἔτεκεν ⸀υἱόν· 21!
καὶ ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ Ἰησοῦν.

*1* **2** Τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλέεμ τῆς Ἰουδαίας L 2,4-7
ἐν ἡμέραις Ἡρῴδου τοῦ βασιλέως, ἰδοὺ μάγοι ἀπὸ L 1,5
ἀνατολῶν παρεγένοντο εἰς Ἱεροσόλυμα **2** λέγοντες· ποῦ
ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; εἴδομεν γὰρ αὐ- 27,11!
τοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ καὶ ἤλθομεν προσκυνῆσαι Nu 24,17 Ap 22,16 · 11!
αὐτῷ. **3** ἀκούσας δὲ ὁ βασιλεὺς Ἡρῴδης ἐταράχθη καὶ 21,10
⸰πᾶσα Ἱεροσόλυμα μετ᾽ αὐτοῦ, **4** καὶ συναγαγὼν πάντας
τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς τοῦ λαοῦ ἐπυνθάνετο
5 VII ⸋παρ᾽ αὐτῶν⸌: ποῦ ὁ χριστὸς γεννᾶται:¹. **5** οἱ δὲ εἶπαν 11,2!
αὐτῷ· ἐν Βηθλέεμ τῆς Ἰουδαίας· οὕτως γὰρ γέγραπται J 7,42
διὰ τοῦ προφήτου·

**6** *καὶ σὺ Βηθλέεμ*⸂, γῆ Ἰούδα⸃, *Mch 5,1.3*
οὐδαμῶς *ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα·*
*ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος,*
*ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ.* *2Sm 5,2 1Chr 11,2*

6 X **7** Τότε Ἡρῴδης λάθρᾳ καλέσας τοὺς μάγους ἠκρί-
βωσεν παρ᾽ αὐτῶν τὸν χρόνον τοῦ φαινομένου ἀστέρος,

**22** ⸆ του K L Γ 565. 579. 700. 1241. 1424. *l* 844 𝔐; Eus ¦ *txt* ℵ B C D W Z Δ 071 *f*$^{1.13}$ 33. 892$^{vid}$. *l* 2211 | ⸇ Ησαιου D it sy$^{s.(c).h}$ sa$^{ms}$; Ir$^{lat\,pt}$ • **23** ⸀(*cf* Is 7,14) καλεσεις D bo$^{mss}$; Or Eus • **24** ⸀διεγερθεις C$^{3}$ D K L W Γ Δ 087 *f*$^{13}$ 33. 565. 579. 700. 892. 1241. *l* 844. *l* 2211 𝔐 ¦ *txt* ℵ B C* Z 071 *f*$^{1}$ | ⸰ ℵ K Z Γ Δ *f*$^{13}$ 565. 700. 1241 ¦ *txt* B C D L W *f*$^{1}$ 33. 579. 892. *l* 844. *l* 2211 𝔐 • **25** ⸰ B* 579 | ⸀(L 2,7) τον υιον αυτης (– D$^{c}$ L d q) τον πρωτοτοκον C D K L N W Γ Δ 087. 565. 579. 700. 892. 1241. *l* 844. *l* 2211 𝔐 aur d f ff$^{1}$ q vg sy$^{p.h}$ ¦ *txt* ℵ B Z$^{vid}$ 071$^{vid}$ *f*$^{1.13}$ 33 it mae sy$^{s.c}$ (sa bo)

¶ **2,3** ⸰ D • **4** ⸋ D Γ | [: · *et* :¹ ;] • **6** ⸂ της Ιουδαιας D it sy$^{s.c.p}$ ¦ γη των Ιουδαιων ff$^{1}$ (sy$^{h}$) bo$^{ms(s)}$

**8** καὶ πέμψας αὐτοὺς εἰς Βηθλέεμ εἶπεν· πορευθέντες
⸉ἐξετάσατε ἀκριβῶς⸊ περὶ τοῦ παιδίου· ἐπὰν δὲ εὕρητε,
ἀπαγγείλατέ μοι, ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ.
**9** Οἱ δὲ ἀκούσαντες τοῦ βασιλέως ἐπορεύθησαν καὶ ἰδοὺ
ὁ ἀστήρ, ὃν εἶδον ἐν τῇ ἀνατολῇ, προῆγεν αὐτούς, ἕως
ἐλθὼν ⸀ἐστάθη ἐπάνω ⸂οὗ ἦν τὸ παιδίον⸃. **10** ἰδόντες δὲ
28,8 L2,10! τὸν ἀστέρα ἐχάρησαν χαρὰν μεγάλην σφόδρα. **11** καὶ ἐλ-
θόντες εἰς τὴν οἰκίαν εἶδον τὸ παιδίον μετὰ Μαρίας τῆς
2; 8,2; 9,18; 14,33; 15,25; 20,20; 28,9.17 μητρὸς αὐτοῦ, καὶ πεσόντες προσεκύνησαν αὐτῷ καὶ ἀν-
Ps72,10s οίξαντες τοὺς θησαυροὺς αὐτῶν προσήνεγκαν αὐτῷ
Ps72,15 Is60,6 Ct3,6 δῶρα, χρυσὸν καὶ λίβανον καὶ σμύρναν. **12** Καὶ χρημα-
22 τισθέντες κατ᾽ ὄναρ μὴ ἀνακάμψαι πρὸς Ἡρῴδην, δι᾽
1Rg13,9s ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν χώραν αὐτῶν.

1,20! **13** Ἀναχωρησάντων δὲ αὐτῶν ⸆ ἰδοὺ ἄγγελος κυρίου
⸂φαίνεται κατ᾽ ὄναρ⸃ τῷ Ἰωσὴφ λέγων· ἐγερθεὶς παρά-
1Rg11,17.40 2Rg 25,26 Jr26,21-23 λαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ φεῦγε εἰς Αἴ-
Ap12,4 γυπτον καὶ ἴσθι ἐκεῖ ἕως ἂν εἴπω σοι· μέλλει γὰρ Ἡρῴδης
| 21 ζητεῖν τὸ παιδίον τοῦ ἀπολέσαι αὐτό. **14** ὁ δὲ ἐγερθεὶς
παρέλαβεν τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ νυκτὸς καὶ
22; 4,12; 12,15; 14,13; 15,21 | ἀνεχώρησεν εἰς Αἴγυπτον, **15** καὶ ἦν ἐκεῖ ἕως τῆς τε-
1,22! λευτῆς Ἡρῴδου· ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ κυρίου διὰ
τοῦ προφήτου λέγοντος·
*Hos11,1* Nu23,22; 24,8 · 3,17! *ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου.*

**16** Τότε Ἡρῴδης ἰδὼν ὅτι ἐνεπαίχθη ὑπὸ τῶν μάγων *2*
ἐθυμώθη λίαν, καὶ ἀποστείλας ἀνεῖλεν πάντας τοὺς παῖ-
δας τοὺς ἐν Βηθλέεμ καὶ ἐν πᾶσιν τοῖς ὁρίοις αὐτῆς ἀπὸ
7 ⸂διετοῦς καὶ κατωτέρω⸃, κατὰ τὸν χρόνον ὃν ἠκρίβωσεν
| 1,22! παρὰ τῶν μάγων. **17** τότε ἐπληρώθη τὸ ῥηθὲν ⸆ διὰ Ἰε-
ρεμίου τοῦ προφήτου λέγοντος·
*Jr31,15* **18** *φωνὴ ἐν Ῥαμὰ ἠκούσθη,*
⸆ *κλαυθμὸς καὶ ὀδυρμὸς πολύς·*

**8** ⸉ $C^3$ K L W Γ Δ 565. 700. 892. 1241 𝔐 $sy^h$ ¦ *txt* א B C* D $f^{1.13}$ $33^{vid}$. *l* 844. *l* 2211; Eus • **9** ⸀εστη K L W Γ Δ $f^{13}$ 565. 579. 700. 892. 1241. *l* 844 𝔐 ¦ *txt* א B C D $f^1$ 33. *l* 2211 | ⸂του παιδιου D it • **13** ⸆ (12) εις την χωραν αυτων B | ⸂(19 *v.l.*) κατ οναρ φαινεται C K 33. 700. 892 ¦ (1,20) κατ οναρ εφανη B • **16** ⸂διετιας και κατω D* • **17** ⸆ υπο κυριου D aur • **18** ⸆ (Jr 38,15 𝔊) θρηνος και (− 1241) C D K L W Γ Δ $f^{13}$ 33. 565. 579. 700. 892. 1241. 1424 𝔐 $sy^{s.c.h}$ ¦ *txt* א B Z $f^1$ *l* 2211 lat $sy^p$ co; Ju

*Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς,* Gn 35,19; 48,7
*καὶ οὐκ ἤθελεν παρακληθῆναι,*
*ὅτι οὐκ εἰσίν.*

**19** Τελευτήσαντος δὲ τοῦ Ἡρῴδου ἰδοὺ ἄγγελος κυ- 1,20!
ρίου ⸉φαίνεται κατʼ ὄναρ⸊ τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ **20** λέγων·
ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ
πορεύου εἰς γῆν Ἰσραήλ· τεθνήκασιν γὰρ οἱ ζητοῦντες Ex 4,19
τὴν ψυχὴν τοῦ παιδίου. **21** ὁ δὲ ἐγερθεὶς παρέλαβεν τὸ
παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ ⸀εἰσῆλθεν εἰς γῆν Ἰσ- 14
ραήλ.

**22** Ἀκούσας δὲ ὅτι Ἀρχέλαος βασιλεύει τῆς Ἰουδαίας
ἀντὶ ⸉τοῦ πατρὸς αὐτοῦ Ἡρῴδου⸊ ἐφοβήθη ἐκεῖ ἀπελθεῖν·
χρηματισθεὶς δὲ κατʼ ὄναρ ἀνεχώρησεν εἰς τὰ μέρη τῆς 12 · 14!
Γαλιλαίας, **23** καὶ ἐλθὼν κατῴκησεν εἰς πόλιν λεγομένην 4,13; 21,11 Mc 1,9!
⸀Ναζαρέτ· ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τῶν προφητῶν ὅτι 1,22!
Ναζωραῖος κληθήσεται. Jdc 13,5; 16,17 Is 11,1 26,71 L 18,37! J 18,5!

*3* 7 III **3** Ἐν °δὲ ταῖς ἡμέραις ἐκείναις παραγίνεται Ἰωάννης **1-6: Mc 1,2-6 L 3,1-6** J 1,6
ὁ βαπτιστὴς κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας L 1,80
**2** °[καὶ] λέγων· μετανοεῖτε· ἤγγικεν γὰρ ἡ βασιλεία τῶν 4,17p; 10,7p
οὐρανῶν.
8 I **3** οὗτος γάρ ἐστιν ὁ ῥηθεὶς διὰ Ἠσαΐου τοῦ προφήτου λέ-
γοντος·

*φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ·* *Is 40,3* 𝔊 J 1,23
*ἑτοιμάσατε τὴν ὁδὸν κυρίου,*
*εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ.*

9 VI **4** αὐτὸς δὲ ὁ Ἰωάννης εἶχεν τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν
καμήλου καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ, 2Rg 1,8
ἡ δὲ τροφὴ ἦν αὐτοῦ ἀκρίδες καὶ μέλι ἄγριον. **5** Τότε Lv 11,21s

**19** ⸉ C K L W Γ Δ 33. 565. 579. 700. 892. 1241. 1424 𝔐 ¦ *txt* א B D Z $f^{1.13}$ *l* 2211 • **21** ⸀ ηλθεν D K L N W Γ Δ $f^{1.13}$ 33. 565. 579. 700. 1241. 1424. *l* 2211 𝔐 $sy^{h}$ ¦ *txt* א B C (bo) • **22** ⸉ *4 1–3* $C^{3}$ D K L N Γ Δ $f^{1.13}$ 33. 565. 579. 700. 1241. 1424. *l* 2211 𝔐 latt; Eus ¦ *txt* א B C* W • **23** ⸀ Ναζαρεθ C K N W Γ $f^{13}$ 565 *pm* lat co ¦ Ναζαραθ Δ $f^{1}$ ¦ Ναζαρα $𝔓^{70vid}$; Eus ¦ *txt* א B D L 33. 700. 892. 1241. 1424. *l* 2211 *pm*

¶ **3,1** ° D K L $N^{vid}$ Γ Δ 565. 700. *l* 844. *l* 2211 *pm* it $sy^{s}$ $bo^{pt}$ ¦ *txt* א B C W $f^{1.13}$ 33. 892. 1241. 1424 *pm* lat $sy^{p.h}$ sa mae $bo^{pt}$ • **2** ° א B q co ¦ *txt* C D K L N W Γ Δ $f^{1.13}$ 565. 579. 700. 892. 1241. 1424. *l* 844. *l* 2211 𝔐 lat sy

11,7-10 ἐξεπορεύετο πρὸς αὐτὸν Ἱεροσόλυμα καὶ πᾶσα ἡ Ἰουδαία
καὶ πᾶσα ἡ περίχωρος τοῦ Ἰορδάνου, **6** καὶ ἐβαπτίζοντο
ἐν τῷ Ἰορδάνῃ °ποταμῷ ὑπ᾽ αὐτοῦ ἐξομολογούμενοι τὰς
ἁμαρτίας αὐτῶν.
**7-10: L3,7-9** · 16,1! **7** Ἰδὼν δὲ πολλοὺς τῶν Φαρισαίων καὶ Σαδδουκαίων 10 V
12,34; 23,33 ἐρχομένους ἐπὶ τὸ βάπτισμα °αὐτοῦ εἶπεν αὐτοῖς· γεννή-
ματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελ-
L21,23 R1,18! Ap 6,16s | λούσης ὀργῆς; **8** ποιήσατε οὖν καρπὸν ἄξιον τῆς μετανοί-
L3,8! ας **9** καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς· πατέρα ἔχομεν τὸν
Ἀβραάμ. λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ θεὸς ἐκ τῶν λίθων
τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. **10** ἤδη δὲ ⸆ ἡ ἀξίνη
7,19 πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται· πᾶν οὖν δένδρον μὴ
13,40 ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται.
**11s: Mc1,7s L3,15-18** **11** Ἐγὼ μὲν ὑμᾶς βαπτίζω ἐν ὕδατι εἰς μετάνοιαν, ὁ δὲ 11 I
**J1,25-28** · 11,3p; 21,9!p ⸋ὀπίσω μου⸌ ἐρχόμενος ἰσχυρότερός μού ἐστιν, οὗ οὐκ
J1,15! Act13,24! H10,37 Ap1,4 εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι· αὐτὸς ὑμᾶς βαπτίσει
Jr13,24 Joel3,1-5 Am 7,4 Ml3,19 | ἐν πνεύματι ἁγίῳ καὶ πυρί· **12** οὗ τὸ πτύον ἐν τῇ χειρὶ 12 V
13,30.40-42 αὐτοῦ καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ καὶ συνάξει τὸν
σῖτον ⸀αὐτοῦ εἰς τὴν ἀποθήκην⸁, τὸ δὲ ἄχυρον κατακαύ-
Mc9,43 σει πυρὶ ἀσβέστῳ.
**13-17: Mc1,9-11 L3,21s** **13** Τότε παραγίνεται ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας ἐπὶ 13 X
τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην τοῦ βαπτισθῆναι ὑπ᾽ αὐ-
τοῦ. **14** ὁ δὲ °Ἰωάννης διεκώλυεν αὐτὸν λέγων· ἐγὼ χρεί-
αν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με;
**15** ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν ⸀πρὸς αὐτόν⸁· ἄφες ἄρτι,
1,22!; 5,17; 23,32 · 5,6. οὕτως γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιο-
10.20; 6,1.33; 21,32 σύνην. τότε ἀφίησιν αὐτὸν⸆. **16** βαπτισθεὶς δὲ ὁ Ἰησοῦς 14 I

**6** ° C$^3$ D K L Γ $f^{13}$ 565. 700. 892. 1241. *l* 844 𝔐 lat mae ¦ *txt* ℵ B C* W Δ $f^1$ 33. 579. 1424. *l* 2211 q sy sa bo; Or • **7** ° ℵ* B sa mae; Or ¦ *txt* ℵ$^1$ C D K L W Γ Δ $f^{1.13}$ 33. 565. 579. 700. 892. 1241. 1424. *l* 844. *l* 2211 𝔐 latt sy$^{s.c.h}$ bo • **10** ⸆ *p)* και K L Γ $f^{13}$ 33. 565. 579. 1241. 1424. *l* 844. *l* 2211 𝔐 sy$^h$ ¦ *txt* ℵ B C D$^s$ W Δ $f^1$ 700; Or • **11** ⸋ 𝔓$^{101}$ a d sa$^{mss}$; Cyp • **12** ⸀ *1-4 1* B W ¦ *2-4 1* L 892. 1424. *l* 844. *l* 2211 b ff$^1$ g$^1$ sy mae ¦ *2-4* $f^{13}$ a q; (Did) ¦ *txt* ℵ C D$^s$ K Γ Δ $f^1$ 33. 565. 579. 700. 1241 𝔐 lat sa bo • **14** ° ℵ* B sa ¦ *txt* 𝔓$^{96}$ ℵ$^1$ C D$^s$ K L P W Γ Δ $f^{1.13}$ 33. 565. 700. 892. 1241. 1424. *l* 844. *l* 2211 𝔐 lat(t) sy mae bo • **15** ⸀ αυτω 𝔓$^{96}$ B $f^{13}$ *l* 844. *l* 2211 ¦ *txt* 𝔓$^{64}$ ℵ C D$^s$ (K) L P W Γ Δ $f^1$ 33. 565. 579. 700. 892. 1241. 1424 𝔐 sy$^h$ | ⸆ βαπτισθηναι sy$^{s.c}$ ¦ et cum baptizaretur lumen ingens circumfulsit de aqua, ita ut timerent omnes qui advenerant a (g$^1$)

⸉εὐθὺς ἀνέβη⸊ ἀπὸ τοῦ ὕδατος· καὶ ἰδοὺ ἠνεῴχθησαν Ez 1,1
°[αὐτῷ] οἱ οὐρανοί, καὶ εἶδεν °¹[τὸ] πνεῦμα °¹[τοῦ] θεοῦ Is 11,2 J 1,32
⸂καταβαῖνον ὡσεὶ⸃ περιστερὰν °²[καὶ] ἐρχόμενον ἐπ' αὐ-
τόν· **17** καὶ ἰδοὺ φωνὴ ἐκ τῶν οὐρανῶν λέγουσα⸆· ⸂οὗτός J 12,28
ἐστιν⸃ ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα. 12,18!; 17,5 Ps 2,7 · 14,33!

15 II 16 V **4** Τότε °ὁ Ἰησοῦς ἀνήχθη ⸂εἰς τὴν ἔρημον ὑπὸ τοῦ πνεύ- **1-11: Mc 1,12s**
ματος πειρασθῆναι ὑπὸ τοῦ διαβόλου⸃. **2** καὶ νηστεύ- **L 4,1-13** · Dt 8,2 · H 4,15!
σας ἡμέρας τεσσεράκοντα ⸂καὶ νύκτας τεσσεράκοντα⸃, Ex 34,28 Dt 9,9 1Rg 19,8
ὕστερον ἐπείνασεν. **3** καὶ ⸂προσελθὼν ὁ πειράζων εἶπεν Gn 3,1-7 1Th 3,5
αὐτῷ⸃· εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι 6; 27,40; 3,17!
γένωνται. **4** ὁ δὲ ἀποκριθεὶς εἶπεν· γέγραπται· *οὐκ ἐπ'* *Dt 8,3* Sap 16,26
*ἄρτῳ μόνῳ ζήσεται ὁ ἄνθρωπος, ἀλλ' ⸀ἐπὶ παντὶ ῥήματι*
*□ἐκπορευομένῳ διὰ στόματος⸌ θεοῦ.*

**5** Τότε παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς τὴν ἁγίαν πό- 27,53 Ap 11,2! Is 48,2; 52,1 Dn 3,28 𝔊; 9,24
λιν καὶ ⸀ἔστησεν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ **6** καὶ
λέγει αὐτῷ· εἰ υἱὸς εἶ τοῦ θεοῦ, βάλε σεαυτὸν ⸆ κάτω· 3!
γέγραπται γὰρ ὅτι

*τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ* *Ps 91,11s*
*καὶ ἐπὶ χειρῶν ἀροῦσίν σε,*
*μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.*

**7** ἔφη αὐτῷ ὁ Ἰησοῦς· πάλιν γέγραπται· ⸂*οὐκ ἐκπειρά-* *Dt 6,16* 𝔊 Is 7,12
*σεις*⸃ *κύριον τὸν θεόν σου.* 1K 10,9 Act 15,10

**16** ⸉ C K L P Γ Δ *f*$^{13}$ 565. 579. 892. 1241. 1424 𝔐 d h sy$^{h}$ ¦ *txt* ℵ B D$^{s}$ W *f*$^{1}$ 33$^{vid}$. 700. *l* 844. *l* 2211 lat sy$^{p}$ co | ° ℵ* B *l* 2211 vg$^{mss}$ sy$^{s.c}$ sa; Ir$^{lat}$ CyrJ ¦ *txt* ℵ$^{1}$ C D$^{s}$ K L P W Γ Δ *f*$^{1.13}$ 33. 565. 579. 700. 892. 1241. 1424. *l* 844 𝔐 lat sy$^{p.h}$ mae bo; Ir | °¹ *bis* ℵ B bo; Ir ¦ *txt* C D$^{s}$ K L P W Γ Δ *f*$^{1.13}$ 565. 579. 700. 892. 1241. 1424. *l* 844. *l* 2211 𝔐 | ⸂ καταβαινοντα εκ του ουρανου ως D it vg$^{mss}$ (sy$^{h}$) | °² ℵ* B lat; Ir$^{lat}$ ¦ *txt* ℵ$^{2}$ C D K L P W Γ Δ *f*$^{1.13}$ 33. 565. 579. 700. 892. 1241. 1424. *l* 844. *l* 2211 𝔐 f l vg$^{cl}$ sy$^{s.c}$; Ir • **17** ⸆ προς αυτον D a b g$^{1}$ h sy$^{s.c}$ | ⸂ *p)* συ ει D a sy$^{s.c}$; Ir

¶ **4,1** ° B Δ 700 | ⸂ *4–6 1–3 7–10* ℵ K 892. 1424 sy$^{s.(c.p)}$ ¦ *txt* 𝔓$^{101vid}$ B C D L P W Γ Δ *f*$^{1.13}$ 33$^{vid}$. 565. 579. 700. 1241 𝔐 latt sy$^{h}$ sa • **2** ⸂ και τεσσερακοντα νυκτας 𝔓$^{101vid}$ ℵ D 892 ¦ *p)* – *f*$^{1}$ sy$^{c}$ ¦ *txt* B C K L P W Γ Δ *f*$^{13}$ 33. 565. 579. 700. 1241. 1424 𝔐 sy$^{h}$ • **3** ⸂ *1 5 2–4* C K L P Γ Δ 565. 579. 1241. 1424 𝔐 f (k) sy$^{h}$ ¦ προσηλθεν αυτω ο πειραζων και ειπεν αυτω D it sy$^{s.c.(p)}$ ¦ *txt* 𝔓$^{101vid}$ ℵ B W *f*$^{1.13}$ 33. 700. 892$^{vid}$ aur ff$^{1}$ l vg mae bo • **4** ⸀ εν C D *f*$^{13}$; Or$^{lat}$ | □ D a b g$^{1}$ • **5** ⸀ ιστησιν K L P W Γ Δ Θ *f*$^{13}$ 565. 579. 700. 892. 1241. 1424 𝔐 sy$^{h}$ ¦ *txt* ℵ B C D Z *f*$^{1}$ 33 sy$^{s.c.p}$ • **6** ⸆ *p)* εντευθεν C* Θ sy$^{s.h}$ bo • **7** ⸂ ου πειρασεις D

Dt 3,27; 34,1-4 Ap 21,10 · 17,1!p **8** Πάλιν παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψη-
16,26 λὸν λίαν καὶ δείκνυσιν αὐτῷ πάσας τὰς βασιλείας τοῦ
κόσμου καὶ τὴν δόξαν αὐτῶν **9** καὶ ⸀εἶπεν αὐτῷ· ταῦτά
2,11! Dn 3,5.10.15 σοι πάντα δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι. **10** τότε
16,23 λέγει αὐτῷ ὁ Ἰησοῦς· ὕπαγε⸆, σατανᾶ· γέγραπται γάρ·
*Dt 6,13; 10,20;* 5,9 *κύριον τὸν θεόν σου προσκυνήσεις καὶ αὐτῷ μόνῳ λα-*
*τρεύσεις.*
1Rg 19,5-7 26,53 **11** Τότε ἀφίησιν αὐτὸν ὁ διάβολος, καὶ ἰδοὺ ἄγγελοι 17/VI
H 1,6.14 προσῆλθον καὶ διηκόνουν αὐτῷ.
**12-17: Mc 1,14s L 4,14s J 4,1-3.43** · 11,2; 14,3. **12** Ἀκούσας δὲ ⸆ ὅτι Ἰωάννης παρεδόθη ἀνεχώρησεν 18/IV
13p · 2,14! | 2,23! · 8,5; 9,1; 11,23; εἰς τὴν Γαλιλαίαν. **13** καὶ καταλιπὼν τὴν ⸀Ναζαρὰ ἐλθὼν 19/VII
17,24 · Mc 1,21!p J 2,12! κατῴκησεν εἰς ⸂Καφαρναοὺμ τὴν παραθαλασσίαν ἐν
1,22! ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλίμ· **14** ἵνα πληρωθῇ τὸ ῥηθὲν
διὰ Ἠσαΐου τοῦ προφήτου λέγοντος·

*Is 8,23–9,1* **15** *γῆ Ζαβουλὼν* καὶ *γῆ Νεφθαλίμ,*
*ὁδὸν θαλάσσης⁚, πέραν τοῦ Ἰορδάνου,*
1Mcc 5,15 *Γαλιλαία τῶν ἐθνῶν,⁚¹*
L 1,79 J 1,9 R 2,19 **16** *ὁ λαὸς ὁ καθήμενος ἐν ⸀σκότει*
*φῶς εἶδεν μέγα,*
*καὶ τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου*
*φῶς ἀνέτειλεν* αὐτοῖς.

16,21; 26,16 **17** Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν καὶ λέγειν· *4*/20/VI
3,2! μετανοεῖτε· ἤγγικεν γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.
**18-22: Mc 1,16-20 L 5,1-11** **18** ⸀Περιπατῶν δὲ παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας
10,2p Mc 1,29 · 16,18! εἶδεν δύο ἀδελφούς, Σίμωνα τὸν λεγόμενον Πέτρον καὶ
Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρον
εἰς τὴν θάλασσαν· ἦσαν γὰρ ἁλιεῖς. **19** καὶ λέγει αὐτοῖς· 21/II
2Rg 6,19 · 13,47 Jr 16,16 δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ⸆ ἁλιεῖς ἀνθρώπων.

**9** ⸀λεγει K L P W Γ Δ Θ *f*$^{1}$ 565. 579. 700. 892. 1241. 1424 𝔐 ¦ *txt* ℵ B C D Z *f*$^{13}$ 33 • **10** ⸆(16,23 *p*) οπισω μου C$^{2}$ D L Z Γ 33. 579$^{c}$. 892$^{c}$. 1241. 1424 𝔐 b h l* sy$^{(s).c.h}$ sa$^{mss}$ bo$^{mss}$ ¦ retro it; Ir$^{arm\ vid}$ ¦ *txt* ℵ B C*$^{vid}$ K P W Δ *f*$^{1.13}$ 565. 579*. 700. 892*$^{vid}$ f k vg sy$^{p}$ sa$^{ms}$ mae bo; Ir$^{lat\ vid}$ Or • **12** ⸆ο (− 892) Ιησους C$^{2}$ K L P W Γ Δ Θ *f*$^{1.13}$ 565. 579. 892. 1424 𝔐 it vg$^{cl}$ sy$^{c.p.h}$ bo$^{pt}$ ¦ *txt* ℵ B C*$^{vid}$ D Z 33. 700. 1241 ff$^{1}$ k vg$^{st}$ sy$^{s}$ sa mae bo$^{pt}$; Or • **13** ⸀Ναζαρετ B$^{2}$ L Γ 565. 700. 892. 1241. 1424. *l* 844. *l* 2211 *pm* aur ¦ Ναζαρεθ ℵ* D K W Θ *f*$^{1.13}$ 579 *pm* lat sa bo ¦ Ναζαραθ C P Δ ¦ *txt* ℵ$^{1}$ B* Z 33 k mae | ⸂Καπερναουμ C K L P W$^{c}$ Γ Δ (Θ) *f*$^{1.13}$ 565. 579. 700. 892. 1241. 1424. *l* 844. *l* 2211 𝔐 ¦ *txt* ℵ B D W* Z 33 lat(t) co • **15** [⁚ − *et* ⁚¹ · *vel*.] • **16** ⸀σκοτια ℵ$^{1}$ B D W; Or$^{pt}$ ¦ *txt* ℵ* C K L P Γ Δ Θ *f*$^{1.13}$ 33. 565. 579. 700. 892. 1241. 1424. *l* 844. *l* 2211 𝔐; Or$^{pt}$ • **18** ⸀*p)* παραγων D it sy$^{s}$; Eus • **19** ⸆*p)* γενεσθαι ℵ$^{1}$ D 33. *l* 844. *l* 2211 lat sy$^{p.hmg}$

**20** οἱ δὲ εὐθέως ἀφέντες τὰ δίκτυα ⸆ ἠκολούθησαν αὐτῷ. 19,27p
22 VI **21** ⸋καὶ προβὰς ἐκεῖθεν εἶδεν ἄλλους δύο ἀδελφούς,
Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου καὶ Ἰωάννην τὸν ἀδελφὸν 10,2p; 17,1!; 20,20p;
αὐτοῦ, ἐν τῷ πλοίῳ μετὰ Ζεβεδαίου τοῦ πατρὸς αὐτῶν 27,56 J21,2
καταρτίζοντας τὰ δίκτυα αὐτῶν, καὶ ἐκάλεσεν αὐτούς.
**22** οἱ δὲ εὐθέως ἀφέντες τὸ πλοῖον καὶ τὸν πατέρα αὐτῶν 19,29!p 1Rg19,19s
ἠκολούθησαν αὐτῷ.⸌

23 I **23** Καὶ περιῆγεν ⸀ἐν ὅλῃ τῇ Γαλιλαίᾳ⸁ διδάσκων ἐν **23: Mc1,39 L4,44** 9,35; 11,1
ταῖς συναγωγαῖς αὐτῶν καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς 10,17; 12,9; 13,54;
βασιλείας καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μα- 23,34 L4,15 · 24,14
λακίαν ἐν τῷ λαῷ. 10,1 Dt7,15

**24** Καὶ ⸀ἀπῆλθεν ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην τὴν Συρίαν· **24: Mc3,10s L6,18s** 9,26! Mc1,28p!
καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας ποι- 14,35p
κίλαις νόσοις καὶ βασάνοις συνεχομένους °[καὶ] δαιμο-
νιζομένους καὶ σεληνιαζομένους καὶ παραλυτικούς, καὶ 17,15 · 8,6; 9,2p
ἐθεράπευσεν αὐτούς. **25** καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι **25: Mc3,7s L6,17b.18a**
πολλοὶ ἀπὸ τῆς Γαλιλαίας καὶ Δεκαπόλεως καὶ Ἱεροσο- Mc5,20!
λύμων καὶ Ἰουδαίας καὶ πέραν τοῦ Ἰορδάνου.

5 24 X **5** Ἰδὼν δὲ τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος, καὶ καθίσαν- **c.5–7: L6,20-49** · 4,8;
τος αὐτοῦ προσῆλθαν °αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· 14,23p; 15,29; 17,1p; 24,3p; 28,16 Mc3,13p
25 V **2** καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐδίδασκεν αὐτοὺς λέγων· J6,3! |
**3** Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, **3-12: L6,20b-23** · 11,5p
ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. L4,18 1K1,27s Jc2,5! · Ps33,19 𝔊 Is57,15; 61,1
27 V **4** ⸉μακάριοι οἱ πενθοῦντες⸆,
ὅτι αὐτοὶ παρακληθήσονται. Is61,2s; Sir48,24 Tob 13,16 Ap7,17!
26 X **5** μακάριοι οἱ πραεῖς,
ὅτι αὐτοὶ κληρονομήσουσιν τὴν γῆν.⸊ Ps36,11 𝔊 · 11,29! Dt1,8.21 etc Is60,21; 65,9
28 V **6** μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν Jr23,5s; 33,15s
δικαιοσύνην, 3,15!
ὅτι αὐτοὶ χορτασθήσονται.

**20** ⸆ αυτων K W 565 it sy$^{s.c.p}$ co • **21/22** ⸋ W 33 • **23** ⸀ο Ιησους εν ολη (–א*) τη Γαλιλαια א* C* sy$^{s.p.h}$ bo ¦ εν ολη τη Γαλιλαια ο Ιησους C$^{3}$ ¦ ο Ιησους ολην την Γαλιλαιαν א$^{1}$ D *f*$^{1}$ 33. 892. 1424. *l* 844. *l* 2211 lat; Eus ¦ ολην την Γαλιλαιαν ο Ιησους K W Γ Δ *f*$^{13}$ 565. 579. 700. 1241 𝔐 ¦ *txt* B (k) sy$^{c}$ sa mae • **24** ⸀εξηλθεν א C *f*$^{1}$ 33. 892 sy$^{hmg}$ | ° B C* (Δ) *f*$^{13}$ 892; Eus ¦ *txt* א C$^{2}$ D K W Γ *f*$^{1}$ 33. 565. 579. 700. 1241. 1424. *l* 844. *l* 2211 𝔐 latt sa mae

¶ **5,1** ° B • **4/5** ⸉ (*vss* 5/4) D 33 lat sy$^{c}$ bo$^{ms}$; Or Eus | ⸆ νυν א$^{1}$ 33. 892. *l* 844 aur vg$^{mss}$ sa$^{ms}$ bo; Did

18,33 Jc 2,13! Prv 14,21; 17,5 𝔊

**7** μακάριοι οἱ ἐλεήμονες, 29 X
ὅτι αὐτοὶ ἐλεηθήσονται.

Ps 24,3s · Ps 73,1 1T 1,5 2T 2,22 H 12,14 1J 3,2 Ap 22,4!

**8** μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ,
ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται.

Prv 10,10 𝔊 Jc 3,18 H 12,14! 45p R 9,26! Jub 1,24s

**9** μακάριοι οἱ εἰρηνοποιοί,
ὅτι °αὐτοὶ υἱοὶ θεοῦ κληθήσονται.

1P 3,14! · 11s.44; 10,23! · 3,15!

**10** μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης,
ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

10,22! Is 51,7 1P 4,14

**11** μακάριοί ἐστε 30 V
ὅταν ⸉ὀνειδίσωσιν ὑμᾶς καὶ ⸀διώξωσιν⸊ καὶ εἴπω-
σιν ⸉¹πᾶν πονηρὸν ⸆ καθ᾽ ὑμῶν⸊ °[ψευδόμενοι]

| 1P 4,13 Ap 19,7! Gn 15,1 23,31.37 Jc 5,10

ἕνεκεν ⸀ἐμοῦ. **12** χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι
ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς· οὕτως
γὰρ ἐδίωξαν τοὺς προφήτας τοὺς πρὸ ὑμῶν⸆.

**13: L 14,34s / Mc 9,50**

**13** Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς· ἐὰν δὲ τὸ ἅλας μω- 31 II
ρανθῇ, ἐν τίνι ἁλισθήσεται; εἰς οὐδὲν ἰσχύει °ἔτι εἰ μὴ
⸂βληθὲν ἔξω⸃ καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων.

**14-16: L 11,33 / Mc 4,21 L 8,16** · E 5,8 Ph 2,15 J 8,12! · Is 2,2 |

**14** Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. οὐ δύναται πόλις 32 II
κρυβῆναι ἐπάνω ὄρους κειμένη· **15** οὐδὲ καίουσιν λύ-
χνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον ἀλλ᾽ ἐπὶ τὴν λυ-
χνίαν, καὶ λάμπει πᾶσιν τοῖς ἐν τῇ οἰκίᾳ. **16** οὕτως λαμ-

E 5,8s Ph 2,15 J 15,8 1K 10,31 Ph 1,11 1P 2,12 · E 2,10! · 45.48; 6,9 etc

ψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδω-
σιν ὑμῶν τὰ καλὰ °ἔργα καὶ δοξάσωσιν τὸν πατέρα ὑμῶν
τὸν ἐν τοῖς οὐρανοῖς.

**17s: L 16,17** · R 3,31 9,13p; 10,34sp; 18,11; 20,28p L 5,32! · 7,12!; 11,13p L 16,16! R 3,21 3,15! R 8,4! | 24,35p Bar 4,1

**17** Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς 33 X
προφήτας· οὐκ ἦλθον καταλῦσαι ἀλλὰ πληρῶσαι. **18** ἀμὴν 34 V
γὰρ λέγω ὑμῖν· ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα
ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου⸆, ἕως °ἂν

**9** ° ℵ C D $f^{13}$ it $vg^{cl.st}$ $sy^{p}$; Did ¦ *txt* B K W Γ Δ Θ $f^{1}$ 33. 565. 579. 700. 892. 1241. 1424. *l* 844. *l* 2211 𝔐 f k $vg^{ww}$ $sy^{s.c.h}$ co • **11** ⸉ *4 2 3 1* (D) 33 h k ($sy^{c}$) mae bo | ⸀ διωξουσιν ℵ D (*cf* ⸉) W Δ Θ $f^{13}$ | ⸉¹ *3 4 1 2* D h k $sy^{(s).c.p}$ | ⸆ ρημα C K W Γ Δ Θ $f^{1.13}$ 33. 565. 579. 700. 892. 1241. 1424. *l* 844. *l* 2211 𝔐 q $sy^{p.h}$ mae; Or ¦ *txt* ℵ B D (*cf* ⸉¹) lat $sy^{s.c}$ sa bo; Tert | ° D it $sy^{s}$; Tert | ⸀ δικαιοσυνης D it • **12** ⸆ υπαρχοντας $D^{2}$ (υπαρχοντων D*) $sy^{c}$ bo? • **13** ° D W it $sy^{s.c.p}$; Cyp | ⸂ βληθηναι εξω και D K W Γ Δ Θ $f^{13}$ 565. 579. 700. 1241. 1424. *l* 844. *l* 2211 𝔐 ¦ *txt* $𝔓^{86*.(c)}$ ℵ B C $f^{1}$ 33. 892 • **16** ° B* • **18** ⸆ και των προφητων Θ $f^{13}$ 565; $Ir^{lat}$ | ° B* *l* 2211

35 X πάντα γένηται. ⸆ **19** ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν Jc 2,10
τούτων τῶν ἐλαχίστων καὶ διδάξῃ οὕτως τοὺς ἀνθρώπους,
ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ⸋ὃς
δ᾽ ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ
βασιλείᾳ τῶν οὐρανῶν.⸌
**20** ⸋Λέγω γὰρ ὑμῖν ὅτι ἐὰν μὴ περισσεύσῃ ὑμῶν ἡ δι- 3,15!
καιοσύνη πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ 12,38; 15,1; 23,2! Mc
εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.⸌ 2,16! L 5,21! J 8,3 · 18,3
**21** Ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις· *οὐ φονεύ-* *Ex 20,13 Dt 5,17*
*σεις*· ὃς δ᾽ ἂν φονεύσῃ, ἔνοχος ἔσται τῇ κρίσει. **22** ἐγὼ δὲ 19,18p R 13,19 Jc 2,11 Ex 21,12 Lv 24,17
λέγω ὑμῖν ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ ⸆ ἔνο- E 4,26 Jc 1,19s 1J 3,15
χος ἔσται τῇ κρίσει· ὃς δ᾽ ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ·
⸀ῥακά, ἔνοχος ἔσται τῷ συνεδρίῳ· ὃς δ᾽ ἂν εἴπῃ⸆· μωρέ,
ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. **23** Ἐὰν οὖν
προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον κἀκεῖ Mc 11,25
μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, **24** ἄφες ἐκεῖ
τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου καὶ ὕπαγε·
πρῶτον·¹ διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν
36 V πρόσφερε τὸ δῶρόν σου. **25** Ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ **25s: L 12,57-59**
σου ταχύ, ἕως ὅτου εἶ ⸂μετ᾽ αὐτοῦ ἐν τῇ ὁδῷ⸃, μήποτέ σε
παραδῷ ὁ ἀντίδικος τῷ κριτῇ καὶ ὁ κριτὴς ⸆ τῷ ὑπηρέτῃ
καὶ εἰς φυλακὴν βληθήσῃ· **26** ἀμὴν λέγω σοι, οὐ μὴ ἐξέλ-
θῃς ἐκεῖθεν, ἕως ⸀ἂν ἀποδῷς τὸν ἔσχατον κοδράντην. 18,34
37 X **27** Ἠκούσατε ὅτι ἐρρέθη⸆· *οὐ μοιχεύσεις*. **28** ἐγὼ δὲ *Ex 20,14 Dt 5,18*
λέγω ὑμῖν ὅτι πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι 19,18p R 13,9 Jc 2,11 | Ex 20,17 Dt 5,21 Job
⸀αὐτὴν ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. 31,1 Sir 9,8 2P 2,14
**29** Εἰ δὲ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε, ἔξελε **29s: 18,8s Mc 9,43-47**
αὐτὸν καὶ βάλε ἀπὸ σοῦ· συμφέρει γάρ σοι ἵνα ἀπόληται

**18** ⸆ (24,35) caelum et terra transibunt, verba autem mea non praeteribunt c • **19** ⸋ ℵ* D W 579 bo$^{ms}$ • **20** ⸋ D • **22** ⸆ εικη ℵ$^{2}$ D K L W Γ Δ Θ *f*$^{1.13}$ 33. 565. 579. 700. 892. 1241. 1424 𝔐 it sy co; Ir$^{lat}$ Or$^{mss}$ Cyp Cyr ¦ *txt* 𝔓$^{64}$ ℵ* B aur vg; Or Hier$^{mss}$ | ⸀ ραχα ℵ* D W mae; Ir$^{lat}$ | ⸆ τω αδελφω αυτου L Θ *f*$^{1.13}$ 700 ff$^{1}$ sy$^{s.c}$ bo; Cyp • **24** [· *vel* ·¹ ,] • **25** ⸂ *3–5 1 2* K Γ Δ Θ 565. 579. 700. 1241. 1424 𝔐 lat sy$^{h}$ sa$^{mss}$ mae; Cl ¦ *txt* ℵ B D L W 0275 *f*$^{1.13}$ 33. 892. *l* 844 it sy$^{s.c.p}$ sa$^{mss}$ bo$^{pt}$; Did | ⸆ *p)* σε παραδω K L W Γ Δ Θ 33. 565. 579. 700. 1241. 1424. *l* 844 𝔐 lat sy$^{c.p.h}$ co ¦ σε παραδωσει D ¦ *txt* 𝔓$^{64vid}$ ℵ B 0275 *f*$^{1.13}$ 892 k; Cl • **26** ⸀ οὗ L W 1424 ¦ – 33 • **27** ⸆ (21. 33) τοις αρχαιοις L Δ Θ *f*$^{13}$ 33. 579. 892 *pm* lat sy$^{c.h**}$; Ir$^{lat}$ Or$^{lat}$ Eus • **28** ⸀ αυτης ℵ$^{1}$ *f*$^{1}$ ¦ – 𝔓$^{64}$ ℵ*; Tert Cl ¦ *txt* B D K L W Γ Δ Θ *f*$^{13}$ 33. 565. 579. 700. 892. 1241. 1424. *l* 844 𝔐 Ir$^{lat\,vid}$

ἓν τῶν μελῶν σου καὶ μὴ ὅλον τὸ σῶμά σου ⸀βληθῇ εἰς
γέενναν. **30** □καὶ εἰ ⸂ἡ δεξιά σου χεὶρ⸃ σκανδαλίζει σε,
ἔκκοψον αὐτὴν καὶ βάλε ἀπὸ σοῦ· συμφέρει γάρ σοι ἵνα
ἀπόληται ἓν τῶν μελῶν σου καὶ μὴ ὅλον τὸ σῶμά σου ⸄εἰς
γέενναν ἀπέλθῃ⸅.⸌

**31s: L16,18 / Mt19,9 Mc10,11s** · Dt24,1-3 19,7p | 1K7,10s

**31** Ἐρρέθη δέ· ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ,
δότω αὐτῇ ἀποστάσιον. **32** ἐγὼ δὲ λέγω ὑμῖν ὅτι ⸂πᾶς ὁ
ἀπολύων⸃ τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας
ποιεῖ αὐτὴν μοιχευθῆναι, ⸄καὶ ὃς ἐὰν ἀπολελυμένην
γαμήσῃ, μοιχᾶται⸅.

Lv19,12 Nu30,3 Dt 23,22 𝔊 Zch8,17 *34-37:* Jc5,12 · Sir 23,9-11 · 23,22 Is66,1 Ps11,4; 103,19 | Is66,1 Act7,49 Ps48,3 Tob13,16 | 2K1,17 6,13!

**33** Πάλιν ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις· οὐκ
ἐπιορκήσεις, ἀποδώσεις δὲ τῷ κυρίῳ τοὺς ὅρκους σου.
**34** ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως· μήτε ἐν τῷ οὐρανῷ,
ὅτι θρόνος ἐστὶν τοῦ θεοῦ, **35** μήτε ἐν τῇ γῇ, ὅτι ὑποπό-
διόν ἐστιν τῶν ποδῶν αὐτοῦ, μήτε εἰς Ἱεροσόλυμα, ὅτι
πόλις ἐστὶν τοῦ μεγάλου βασιλέως, **36** μήτε ἐν τῇ κεφαλῇ
σου ὀμόσῃς, ὅτι οὐ δύνασαι ⸂μίαν τρίχα λευκὴν ποιῆσαι ἢ
μέλαιναν⸃. **37** ⸀ἔστω δὲ ὁ λόγος ὑμῶν ⸂ναὶ ναί,⸃ οὒ οὔ· τὸ
δὲ περισσὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστιν.

**38-42: L6,29s** · *Ex 21,24 Lv24,20 Dt19,21* | R12,19 1P2,23 1Th 5,15! Prv20,22; 24,29 Is50,6 Thr3,30 J18,22s · 29s 1K6,7

**38** Ἠκούσατε ὅτι ἐρρέθη· *ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ*
°καὶ *ὀδόντα ἀντὶ ὀδόντος*. **39** ἐγὼ δὲ λέγω ὑμῖν μὴ ἀντι-
στῆναι τῷ πονηρῷ· ἀλλ' ὅστις σε ⸀ῥαπίζει ⸁εἰς τὴν ⸂δεξιὰν 38 V
σιαγόνα [σου]⸃, στρέψον αὐτῷ καὶ τὴν ἄλλην· **40** καὶ ⸂τῷ
θέλοντί⸃ σοι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες
αὐτῷ καὶ τὸ ἱμάτιον⸆· **41** καὶ ὅστις σε ⸀ἀγγαρεύσει μί- 39 X

**29** ⸀*p)* απελθη D 700$^{mg}$ it sy$^{s.c}$ (mae) bo • **30** □D vg$^{ms}$ sy$^{s}$ bo$^{ms}$ | ⸂η (– Θ) χειρ σου η δεξια Θ *f*$^{13}$ | ⸄(29) βληθη εις γεενναν K (L) W Γ Δ Θ *f*$^{13}$ 565. 579. 700. 1241. 1424. *l* 844 𝔐 f vg$^{ms}$ sy$^{h}$ sa ¦ *txt* ℵ B *f*$^{1}$ 33. 892 sy$^{c}$ bo (lat mae) • **32** ⸂*p)* ος αν απολυση D 579 *pm* it sy$^{s.c}$ sa$^{ms}$ bo | ⸄και ο απολελυμενην γαμησας μοιχαται B sa?; Or ¦ – D a b k; Or$^{mss}$ ¦ *txt* ℵ K W Δ *f*$^{1.13}$ 33. 565. 700. 892. 1424. *l* 844. (L Θ 579. 1241) 𝔐 lat? sy$^{h}$ sa? mae bo • **36** ⸂*1–3 5 6 4* K Δ 565. 579. 1241. 1424. *l* 844 𝔐 sy$^{h}$ ¦ *1 2 4 3 5 6* *f*$^{13}$ 700 h ¦ ποιησαι (ποιειν D*) *2 1 3 5 6* D$^{*.1}$ ¦ *4 1–3 5 6* *f*$^{1}$ k; (Cl) ¦ *txt* ℵ B (– η L) W Θ 33. 892. *l* 844 lat • **37** ⸀εσται B 700 | ⸂ναι ναι και L (b g$^{1}$ h?) ¦ το ναι ναι και το Θ; Ju Cl Cl$^{hom}$ Or Cyr • **38** °D *f*$^{13}$ it mae • **39** ⸀ραπισει D K L Δ Θ *f*$^{1.13}$ 565. 579. 892. 1241 𝔐 mae bo ¦ *txt* ℵ B W 33. 700. 1424. *l* 844 | ⸁*p)* επι ℵ$^{2}$ D K L Δ Θ *f*$^{1.13}$ 33. 565. 579. 700. 892. 1241. 1424 𝔐 ¦ *txt* ℵ* B W *l* 844 | ⸂δεξιαν σου σιαγονα K L Δ Θ *f*$^{13}$ 565. 579. 700. 1424. *l* 844 *pm* ¦ δεξιαν σιαγονα ℵ W *f*$^{1}$ 33. 892. 1241 *pm* a f (h); Or$^{lat}$ Cyr ¦ σιαγονα σου D k sy$^{s.c}$ ¦ *txt* B; Eus • **40** ⸂ο θελων D | ⸆σου ℵ 33. 1241. 1424 sy$^{s.c.p}$ • **41** ⸀εαν εγγαρευση ℵ ¦ (ε)αν αγγαρευση Δ 33. 892*. (*l* 844)

λιον ἕν, ὕπαγε μετ᾽ αὐτοῦ ⸆ δύο. **42** τῷ αἰτοῦντί σε ⸀δός,
καὶ ⸂τὸν θέλοντα ἀπὸ σοῦ δανίσασθαι⸃ μὴ ἀποστραφῇς.
**43** Ἠκούσατε ὅτι ἐρρέθη· *ἀγαπήσεις τὸν πλησίον σου*
40 V καὶ μισήσεις τὸν ἐχθρόν σου. **44** ἐγὼ δὲ λέγω ὑμῖν· ἀγα-
πᾶτε τοὺς ἐχθροὺς ὑμῶν ⸆ ⸂καὶ προσεύχεσθε ὑπὲρ τῶν⸃
διωκόντων ὑμᾶς, **45** ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν
τοῦ ἐν οὐρανοῖς, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονη-
ροὺς καὶ ἀγαθοὺς καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους.
41 V **46** ἐὰν γὰρ ἀγαπήσητε τοὺς ἀγαπῶντας ὑμᾶς, τίνα μισθὸν
ἔχετε; οὐχὶ καὶ οἱ τελῶναι ⸂τὸ αὐτὸ⸃ ποιοῦσιν; **47** καὶ ἐὰν
ἀσπάσησθε τοὺς ⸀ἀδελφοὺς ὑμῶν μόνον, τί περισσὸν
ποιεῖτε; οὐχὶ καὶ οἱ ⸀ἐθνικοὶ ⸂τὸ αὐτὸ⸃ ποιοῦσιν; **48** ἔσεσθε
οὖν ὑμεῖς τέλειοι ⸀ὡς ὁ πατὴρ ὑμῶν ὁ ⸀οὐράνιος τέλειός
ἐστιν.
42 X **6** Προσέχετε °[δὲ] τὴν ⸀δικαιοσύνην ὑμῶν μὴ ποιεῖν ἔμ-
προσθεν τῶν ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς· εἰ
δὲ μή γε, μισθὸν οὐκ ἔχετε παρὰ τῷ πατρὶ ὑμῶν τῷ ἐν
°¹τοῖς οὐρανοῖς. **2** Ὅταν οὖν ποιῇς ἐλεημοσύνην, μὴ σαλ-
πίσῃς ἔμπροσθέν σου, ὥσπερ οἱ ὑποκριταὶ ποιοῦσιν ἐν
ταῖς συναγωγαῖς καὶ ἐν ταῖς ῥύμαις, ὅπως δοξασθῶσιν

| Dt 15,7s Sir 29,8s
**43-48: L 6,27s.32-36** · *Lv 19,18* 22,39!p Dt 7,1-5 Ps 139,21s | Ex 23,4s Prv 24,17; 25,21 Job 31,29s R 12,20 · L 23,34! R 12,14! 1P 3,9 | 9! E 5,1 22,10!
18,17; 21,31!
6,7.32; 18,17
Dt 18,13 Lv 19,2 · 19,21 1K 14,20 Kol 4,12 Jc 1,4
3,15! · 5.16; 23,5
5.16; 7,5; 15,7; 22,18; 23,13!; 24,51 J 5,44

**41** ⸆ ετι αλλα D it vg$^{cl}$ sy$^{s}$ ¦ αλλα lat sy$^{c}$; Ir$^{lat}$ • **42** ⸀ διδου K L Δ Θ $f^{1}$ 33. 565. 579. 700. 1241. 1424. *l* 844 𝔐 ¦ *txt* ℵ B D W $f^{13}$ 892; Cl | ⸂ τω θελοντι δανισασθαι D (k) • **44** ⸆ *p)* ευλογειτε τους καταρωμενους υμας (υμιν D*) καλως ποιειτε τοις μισουσιν υμας D$^{*.1}$ K L W Δ Θ $f^{13}$ 33. 565. 579. 700. 892. 1241. 1424. *l* 844 𝔐 lat sy$^{(p).h}$ mae; (Athen Cl) Eus ¦ *txt* ℵ B $f^{1}$ k sy$^{s.c}$ sa bo$^{pt}$ mae; Ir$^{lat}$ Or Cyp | ⸂ *p)* και (−W; Eus) προσευχεσθε υπερ των επηρεαζοντων υμας (ημας Θ*, − D; Eus) και D K L W Δ Θ $f^{13}$ 33. 565. 579. 700. 892. 1241. 1424. *l* 844 𝔐 lat sy$^{(p).h}$; (Athen Cl) Or$^{pt}$ Eus ¦ *txt* ℵ B $f^{1}$ k sy$^{s.c}$ sa bo$^{pt}$ mae; (Ir$^{lat}$) Or$^{pt}$ Cyp • **46** ⸂ ουτως D Z 33 h k sy$^{s.c}$ sa? bo ¦ τουτο $f^{1}$ lat mae • **47** ⸀ φιλους K L W Δ Θ 33. 565. 579. 700. 1241. *l* 844 𝔐 f h sy$^{h}$ ¦ ασπαζομενους υμας 1424 ¦ *txt* ℵ B D Z $f^{1.13}$ 892 lat sy$^{c.p}$ co; Cyp | ⸀ (46) τελωναι K L W Δ Θ $f^{13}$ 565. 579. 700. *l* 844 𝔐 h sy$^{p.hmg}$ ¦ *txt* ℵ B D Z $f^{1}$ 33. 892. 1241. 1424 lat sy$^{c.h}$ co; Bas | ⸂ ουτως K L Δ Θ 565. 579. *l* 844 𝔐 h sy$^{c.h}$ bo • **48** ⸀ ωσπερ D K W Δ Θ 565. 579 𝔐 | ⸀ εν τοις (− D*) ουρανοις D* K Δ Θ 565. 579. 700 *pm* it; Tert

¶ **6,1** ° B D K W Δ $f^{13}$ 565. 579. 700 𝔐 lat sy$^{c}$ mae bo$^{mss}$ ¦ *txt* ℵ L Z Θ $f^{1}$ 33. 892. 1241. 1424 g$^{1}$ sy$^{p.h}$ bo | ⸀ *p)* ελεημοσυνην K L W Z Δ Θ $f^{13}$ 33. 565. 579. 700. 1241. 1424. *l* 844. *l* 2211 𝔐 f k sy$^{p.h}$ mae ¦ δοσιν ℵ$^{1a}$ sy$^{c}$ bo ¦ *txt* ℵ$^{*.1b}$ B D $f^{1}$ 892 lat | °¹ ℵ* D Z $f^{1}$ 33 ¦ *txt* ℵ$^{2}$ B K L W Δ Θ $f^{13}$ 565. 579. 700. 892. 1241. 1424. *l* 844. *l* 2211 𝔐

5.16 ὑπὸ τῶν ἀνθρώπων· ἀμὴν ⸆ λέγω ὑμῖν, ἀπέχουσιν τὸν
μισθὸν αὐτῶν. **3** σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην μὴ γνώτω
R12,8 ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου, **4** ὅπως ⸉ἦ σου ἡ
6.18 ἐλεημοσύνη⸊ ἐν τῷ κρυπτῷ· καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν
τῷ κρυπτῷ ⸆ ἀποδώσει σοι⸇.
2! **5** Καὶ ὅταν ⸂προσεύχησθε, οὐκ ἔσεσθε⸃ ὡς οἱ ὑποκρι-
ταί, ὅτι φιλοῦσιν ⸆ ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς γωνί-
1! αις τῶν πλατειῶν ἑστῶτες ⸀προσεύχεσθαι, ὅπως ⸇ φανῶ-
2! σιν τοῖς ἀνθρώποις· ἀμὴν λέγω ὑμῖν, ⸆[1] ἀπέχουσιν τὸν
μισθὸν αὐτῶν. **6** σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ
2Rg4,33 Mc1,35p ταμεῖόν σου καὶ κλείσας τὴν θύραν σου πρόσευξαι τῷ
4! πατρί σου τῷ ἐν τῷ κρυπτῷ· καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν
τῷ κρυπτῷ ἀποδώσει σοι⸆.
1Rg18,26-29 Eccl5,1 **7** Προσευχόμενοι δὲ μὴ βατταλογήσητε ὥσπερ οἱ ⸀ἐ- 43 V
Sir7,14 · 5,47! θνικοί, δοκοῦσιν γὰρ ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσ-
32p ακουσθήσονται. **8** μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς· οἶδεν γὰρ ⸂ὁ
πατὴρ ὑμῶν⸃ ὧν χρείαν ἔχετε πρὸ τοῦ ὑμᾶς ⸄αἰτῆσαι αὐ-
τόν⸅.
**9-13: L11,2-4** **9** Οὕτως οὖν προσεύχεσθε ὑμεῖς·
7,11; 23,9 Is63,16; 64,7 Πάτερ ἡμῶν ὁ ἐν ⸂τοῖς οὐρανοῖς⸃·
Sap2,16 Sir23,1.4 Jub ἁγιασθήτω τὸ ὄνομά σου·
1,24s 1P1,17! · Ml1,6 Is29,23 Ez36,23 **10** ἐλθέτω ἡ βασιλεία σου·
J17,6; 12,28 | 4,17! · 7,21; 12,50p; γενηθήτω τὸ θέλημά σου,
18,14; 21,31; 26,42p Act21,14 · 1Mcc3,60 °ὡς ἐν οὐρανῷ καὶ ἐπὶ ⸆ γῆς·

**2** ⸆ αμην א* 13 • **4** ⸉ *3 2 4 1* א* ¦ *3 4 2 1* D ¦ *1 2 4* Δ ¦ *1–4 3* 33 ¦ *txt* א[1] B K L W Z[vid] Θ *f*[1.13] 565. 579. 700. 892. 1241. 1424. *l* 844. *l* 2211 𝔐 | ⸆ αυτος D W Δ *f*[1] 565. 579. 1241. (700. *l* 2211) 𝔐 h q sy[p.h] ¦ *txt* א B K L Z Θ *f*[13] 33. 892. 1424. *l* 844 lat sy[s.c]; Or | ⸇ εν τω φανερω K L W Δ Θ 565. 579. 700. 892. 1241. 1424. *l* 844. *l* 2211 𝔐 it sy[s.p.h] ¦ *txt* א B D Z *f*[1.13] 33 aur ff[1] k vg sy[c] co; Or • **5** ⸂ προσευχη ουκ εση (א*) D K L W Δ Θ *f*[13] 33. 565. 579. 700. 1241. 1424. *l* 844. *l* 2211 𝔐 k q sy[c.p.h] ¦ *txt* א[2] B Z *f*[1] 892 lat sy[hmg] co | ⸆ στηναι D it sy[c.p] | ⸀ και (– 13) προσευχομενοι D 13 it | ⸇ αν W Δ Θ 565. 579. 700. 1241. *l* 844 𝔐 | ⸆[1] οτι K L W Δ Θ 565. 579. 1241. 1424. *l* 844 𝔐 f • **6** ⸆ (4 *v.l.*) εν τω φανερω K L W Δ Θ *f*[13] 33. 565. 579. 700. 892. 1241. 1424. *l* 844. *l* 2211 𝔐 it sy[p.h] ¦ *txt* א B D Z *f*[1] aur ff[1] k vg sy[s.c] co; Or Eus • **7** ⸀ υποκριται B 1424 sy[c] mae • **8** ⸂ ο θεος ο πατηρ υμων א[1a] B sa mae ¦ ο πατηρ υμων ο ουρανιος 892[c]. 1424 sy[h]; (Or)[pt] ¦ *txt* א*[.1b] D K L W Z Δ Θ 0170[vid] *f*[(1).13] 33. 565. 579. 700. 892*. 1241. *l* 844. *l* 2211 𝔐 latt sy[s.c.p] bo; Or[pt] | ⸄ ανοιξαι το στομα D h • **9** ⸂ τω ουρανω mae; Didache • **10** ° D* a b c k bo[mss]; Tert Cyp | ⸆ της D K L Θ *f*[13] 565. 579. 700. 892. 1241. 1424. *l* 844. *l* 2211 𝔐 ¦ *txt* א B W Z Δ *f*[1]

**11** τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· Prv 30,8 · Prv 3,28; 27,1 Act 7,26! |
**12** καὶ ἄφες ἡμῖν ⸂τὰ ὀφειλήματα⸃ ἡμῶν, 14s; 18,21-35 Sir 28,2
ὡς καὶ ἡμεῖς ⸀ἀφήκαμεν τοῖς ὀφειλέταις ἡμῶν·
**13** καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, 26,41p Ps 17,30 𝔊; 26,2 Sir 33,1 1K 10,13 J1,13s
ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. ⸆ 2P 2,9 · 5,37; 13,19.38
44 VI **14** Ἐὰν °γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα J17,15 2Th 3,3 2T 4,18
αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ ⸀οὐράνιος· **14s: Mc 11,25s** · 12! Kol 3,13!
**15** ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις⸆, οὐδὲ ὁ πατὴρ ⸂ὑμῶν
ἀφήσει⸃ τὰ παραπτώματα ὑμῶν.
45 X **16** Ὅταν δὲ νηστεύητε, μὴ γίνεσθε ⸀ὡς οἱ ὑποκριταὶ 4,2; 9,15 Act 13,2s 2K 11,27 Is 58,5
σκυθρωποί, ἀφανίζουσιν γὰρ τὰ πρόσωπα ⸁αὐτῶν ὅπως L 24,17
φανῶσιν τοῖς ἀνθρώποις νηστεύοντες· ἀμὴν λέγω ὑμῖν, ⸆ 1!
ἀπέχουσιν τὸν μισθὸν αὐτῶν. **17** σὺ δὲ νηστεύων ἄλειψαί 2! |
σου τὴν κεφαλὴν καὶ τὸ πρόσωπόν σου νίψαι, **18** ὅπως μὴ
φανῇς ⸉τοῖς ἀνθρώποις νηστεύων⸊ ἀλλὰ τῷ πατρί σου τῷ
ἐν ⸂τῷ κρυφαίῳ⸃· καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν ⸂τῷ κρυ- 4!
φαίῳ⸃ ἀποδώσει σοι⸆.
**19** Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου **19-21: L 12,33s**
σὴς καὶ βρῶσις ἀφανίζει καὶ ὅπου κλέπται διορύσσουσιν Is 51,8 · Job 24,16
46 V καὶ κλέπτουσιν· **20** θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν 19,21p 1T 6,19 Sir 29,10s 4Esr 7,77
οὐρανῷ, ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει καὶ ὅπου

**12** ⸂την οφειλην Didache ¦ τα παραπτωματα Or | ⸀αφιομεν D L W Δ Θ 565 co? ¦ αφιεμεν $ℵ^2$ K $f^{13}$ 579. 700. 1241. 1424. *l* 844. *l* 2211 𝔐 co?; Didache ¦ *txt* ℵ* B Z $f^1$ $vg^{st}$ $sy^{p.h}$ • **13** ⸆αμην 17. 30. 288* $vg^{cl}$ ¦ (1Chr 29,11-13) οτι σου εστιν η βασιλεια και η δυναμις και η δοξα εις τους αιωνας αμην K L W Δ Θ $f^{13}$ 33. $288^c$. 565. 579. 700. 892. 1241. 1424. *l* 844 𝔐 f q $sy^h$ $bo^{pt}$ ($g^1$ k $sy^{c.p}$ sa) ¦ οτι σου εστιν η δυναμις και η δοξα εις τους αιωνας Didache ¦ οτι σου εστιν η βασιλεια του πατρος και του υιου και του αγιου πνευματος εις τους αιωνας αμην 1253 ¦ *txt* ℵ B D Z 0170 $f^1$ *l* 2211 lat mae $bo^{pt}$; Or • **14** ° D* L $sa^{ms}$ | ⸀*p)* εν τοις ουρανοις Θ it ¦ *p)* ουρανιος τα παραπτωματα υμων L $f^{13}$ *l* 844 lat $sa^{mss}$ bo mae; Did • **15** ⸆τα παραπτωματα αυτων B K L W Δ Θ $f^{13}$ 33. 565. 579. 700. $892^c$. 1241. 1424. *l* 844. *l* 2211 𝔐 (b) f q $sy^{c.h}$ sa $bo^{pt}$ ¦ *txt* ℵ D $f^1$ 892* lat $sy^p$ mae $bo^{pt}$ | ⸂υμιν αφησει ℵ (⸉ c $sy^c$) ¦ υμων αφησει υμιν D 1241 it $vg^{cl}$ $sy^{p.h}$ • **16** ⸀ωσπερ K L W Γ Θ $f^{13}$ 33. 565. 579. 700. 1241. 1424. *l* 844 𝔐 ¦ *txt* ℵ B D Δ $f^1$ 892. *l* 2211 | ⸁εαυτων B | ⸆οτι K L W Γ Δ Θ 33. 579. 892. 1241. 1424 𝔐 lat ¦ *txt* ℵ B D $f^{1.13}$ 565. 700. *l* 844. *l* 2211 it • **18** ⸉νηστευων τοις ανθρωποις B (k) | ⸂*bis* τω κρυπτω K L W Γ Δ Θ $f^{13}$ 33. 565. 579. 700. 892. 1241. 1424. *l* 844. *l* 2211 𝔐 ¦ κρυφια *et* κρυφαιω D* ¦ *bis* κρυφαιω $D^1$ ¦ *txt* ℵ B $f^1$ | ⸆(4. 6 *v.l.*) εν τω φανερω Δ 579. 1241. *l* 2211 *pm* it

κλέπται οὐ διορύσσουσιν ⸀οὐδὲ κλέπτουσιν⸁· **21** ὅπου γάρ
ἐστιν ὁ θησαυρός ⸀σου, ἐκεῖ ἔσται °καὶ ἡ καρδία ⸀σου.
**22s: L11,34-36** **22** Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός. ἐὰν °οὖν 47/V
⸀ᾖ ὁ ὀφθαλμός σου ἁπλοῦς⸁, ὅλον τὸ σῶμά σου φωτεινὸν
20,15 Mc 7,22 Dt 15,9 Sir 14,10 ἔσται· **23** ἐὰν δὲ ⸉ὁ ὀφθαλμός σου πονηρὸς ᾖ⸊, ὅλον τὸ
σῶμά σου σκοτεινὸν ἔσται. εἰ οὖν τὸ φῶς τὸ ἐν σοὶ σκό-
τος ἐστίν, τὸ σκότος πόσον.
**24: L16,13** **24** Οὐδεὶς ⸆ δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν 48/V
ἕνα μισήσει καὶ τὸν ἕτερον ἀγαπήσει, ἢ ἑνὸς ἀνθέξεται
καὶ τοῦ ἑτέρου καταφρονήσει. οὐ δύνασθε θεῷ δουλεύ-
L16,9! ειν καὶ μαμωνᾷ.
**25-33: L12,22-31** 13,22p **25** Διὰ τοῦτο λέγω ὑμῖν· μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί 49/V
φάγητε ⸀[ἢ τί πίητε]⸁, μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε.
οὐχὶ ἡ ψυχὴ πλεῖόν ἐστιν τῆς τροφῆς καὶ τὸ σῶμα τοῦ
10,29-31p Job 12,7; 38,41 Ps 147,9 PsSal 5,9-11 ἐνδύματος; **26** ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ ὅτι
οὐ σπείρουσιν οὐδὲ θερίζουσιν οὐδὲ συνάγουσιν εἰς ⸆
ἀποθήκας, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά· οὐχ
10,31! | ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν; **27** τίς δὲ ἐξ ὑμῶν με-
ριμνῶν δύναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν
ἕνα; **28** Καὶ περὶ ἐνδύματος τί μεριμνᾶτε; καταμάθετε
τὰ κρίνα τοῦ ἀγροῦ πῶς ⸀αὐξάνουσιν· οὐ κοπιῶσιν οὐδὲ
1Rg 10,4-6 2Chr 9,13-28 3Esr 1,4 νήθουσιν⸁· **29** λέγω δὲ ὑμῖν ὅτι οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ
δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων. **30** εἰ δὲ τὸν χόρ-
Ps 90,5s τον τοῦ ἀγροῦ σήμερον ὄντα καὶ αὔριον εἰς κλίβανον
8,26; 14,31; 16,8; 17,20 L12,28 | βαλλόμενον ὁ θεὸς οὕτως ἀμφιέννυσιν, οὐ πολλῷ μᾶλλον
ὑμᾶς, ὀλιγόπιστοι; **31** Μὴ οὖν μεριμνήσητε λέγοντες· τί
φάγωμεν; ἤ· τί πίωμεν; ἤ· τί περιβαλώμεθα; **32** ⸉πάντα

**20** ⸀και κλεπτουσιν ℵ *f*$^{1}$ *l* 844 it sy$^{c}$ ¦ – W k • **21** ⸀*bis* υμων K L W Γ Δ Θ *f*$^{1.13}$ 33. 565. 579. 700. 892. 1241. 1424. *l* 844. *l* 2211 𝔐 f sy bo$^{pt}$ ¦ *txt* ℵ B lat sy$^{hmg}$ co; Bas | ° B bo$^{ms}$ • **22** ° ℵ lat sy$^{c}$ mae bo$^{ms}$ | ⸀*2–5 1* K L Γ Δ Θ *f*$^{1.13}$ 33. 565. 579. 700. 892. 1241. 1424 𝔐 it ¦ *2–5* *l* 844. *l* 2211 ¦ *txt* ℵ B W lat • **23** ⸉(22) *5 1–4* ℵ* W 33 • **24** ⸆*p)* οικετης L Δ 1241 • **25** ⸀και τι πιητε K L N Γ Δ Θ 565. 579. 700. 1241. 1424. *l* 844 𝔐 sy$^{p.h}$ ¦ – ℵ *f*$^{1}$ 892. *l* 2211 a b ff$^{1}$ k l vg sy$^{c}$ sa$^{mss}$ ¦ *txt* B W *f*$^{13}$ 33 it sa$^{mss}$ mae bo; Or Hier$^{mss}$ • **26** ⸆τας ℵ$^{1}$ L *l* 2211 • **28** ⸀αυξανει ου κοπια ουδε νηθει K L N$^{vid}$ W Γ Δ 0281 *f*$^{13}$ 565. 579. 700. 892. 1241. 1424. *l* 844. *l* 2211 𝔐 ¦ αυξανουσιν ου νηθουσιν ουδε κοπιωσιν (ℵ*) Θ sy$^{c}$ ¦ αυξανουσιν ου κοπιουσιν ουδε νηθουσιν B 33 ¦ *txt* ℵ$^{1}$ *f*$^{1}$ sy$^{p.h}$; Ath • **32** ⸉ταυτα γαρ παντα ℵ N Δ Θ *f*$^{13}$ 892. 1241 lat sy$^{c}$; Bas

γὰρ ταῦτα˺ τὰ ἔθνη ˹ἐπιζητοῦσιν· οἶδεν γὰρ ὁ πατὴρ 5,47! · 8
ὑμῶν ὁ οὐράνιος ὅτι χρῄζετε τούτων ἁπάντων. **33** ζητεῖτε
δὲ πρῶτον τὴν ʼβασιλείαν [τοῦ θεοῦ] καὶ τὴν δικαιοσύνηνʼ R 14,17 · 3,15!
αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. **34** Μὴ Mc 10,30 Ps 37,4.25 Sap 7,11 |
οὖν μεριμνήσητε εἰς τὴν αὔριον, ἡ γὰρ αὔριον μεριμνήσει 25! · Ex 16,19
˹ἑαυτῆς· ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς.
50 II **7** Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε· **2** ἐν ᾧ γὰρ κρίματι κρί- **1-5: L 6,37s.41s** · R 2,1!
νετε κριθήσεσθε, καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε ˹μετρηθή- Mc 4,24
51 V σεται ὑμῖν. **3** Τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφ-
θαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ δοκὸν
οὐ κατανοεῖς; **4** ἢ πῶς ˹ἐρεῖς τῷ ἀδελφῷ σου· ἄφες ἐκ-
βάλω τὸ κάρφος ˹ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ ἰδοὺ ἡ δοκὸς
ἐν τῷ ὀφθαλμῷ σοῦ˙; **5** ὑποκριτά, ἔκβαλε πρῶτον ˢἐκ τοῦ | 6,2!
ὀφθαλμοῦ σοῦ τὴν δοκόν˺, καὶ τότε διαβλέψεις ἐκβαλεῖν
τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου.
52 X **6** Μὴ δῶτε τὸ ἅγιον τοῖς κυσὶν μηδὲ βάλητε τοὺς μαρ- 10,11-14p; 15,26p Ex 29,33 Lv 22,10
γαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, μήποτε ˹καταπατή-
σουσιν αὐτοὺς ἐν τοῖς ποσὶν αὐτῶν καὶ στραφέντες ῥήξω-
σιν ὑμᾶς.
53 V **7** Αἰτεῖτε καὶ δοθήσεται ὑμῖν, ζητεῖτε καὶ εὑρήσετε, **7-11: L 11,9-13** · 18,19;
κρούετε καὶ ἀνοιγήσεται ὑμῖν· **8** πᾶς γὰρ ὁ αἰτῶν λαμ- 21,22p Jc 1,5s Is 58,9
βάνει καὶ ὁ ζητῶν εὑρίσκει καὶ τῷ κρούοντι ˹ἀνοιγήσε- Hos 2,23 · Jr 29,12-14 Prv 8,17 |
ται. **9** ἢ τίς °ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃν ˹αἰτήσει ὁ υἱὸς
αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; **10** ʼἢ καὶ ἰχθὺν

**32** ˹επιζητει K L N W Δ 565. 579. 700. 892. 1241. 1424. *l* 2211 𝔐 ¦ *txt* ℵ B Θ $f^{1.13}$ 33. *l* 844 • **33** ʼ*1 4–6* ℵ (k) l sa bo; Eus ¦ *6 4 5 1* B ¦ βασιλειαν των ουρανων και την δικαιοσυνην Cl ¦ *txt* K L N W Δ Θ $f^{1.13}$ 33. 565. 579. 700. 892. 1241. 1424. *l* 844. *l* 2211 𝔐 lat sy mae • **34** ˹αυτης B* L co? ¦ τα εαυτης K N $f^{1.13}$ 33. 579. 1241. 1424 *pm* $sy^h$ ¦ τα περι αυτης Δ ¦ το εαυτης Θ 565 ¦ εαυτην 700 ¦ *txt* ℵ $B^2$ W 892 *pm* co?

¶ **7,2** ˹*p)* αντιμετρηθησεται N Θ $f^{13}$ it $vg^{cl}$; Cyr • **4** ˹λεγεις ℵ* Θ 700 lat mae | ˹απο K W Δ Θ 565. 579. 700 𝔐 | [˙ .] • **5** ˢ*5 6 1–4* K L N W Δ Θ $f^{1.13}$ 33. 565. 579. 700. 892. 1241. 1424. *l* 844. *l* 2211 𝔐 latt $sy^h$; $Ir^{lat\ vid}$ ¦ *txt* ℵ B $C^{vid}$ 0281 • **6** ˹καταπατησωσιν ℵ K Δ 0281 $f^1$ 565. 579. 700. 892. 1241. 1424. *l* 844. *l* 2211 𝔐; Cl ¦ *txt* B C L N W Θ $f^{13}$ 33 • **8** ˹ανοιγεται B ¦ ανοιχθησεται Θ • **9** ° B* L 565. 1241. 1424 it | ˹(ε)αν αιτηση $ℵ^1$ K L N W Δ 0281 $f^{1.13}$ 33. 565. 579. 700. 892. 1241. 1424. *l* 844. *l* 2211 𝔐 lat $sy^h$ ¦ *txt* ℵ* B C Θ b $sy^{c.p}$ (a c $g^1$ h) • **10** ʼη και εαν ιχθυν αιτηση $K^c$ $f^{13}$ 565 (lat $sy^c$) ¦ και (ε)αν ιχθυν αιτηση L N W Δ Θ 579. 700. 1424 𝔐 $sy^{p.h}$ ¦ *txt* ℵ B C 0281 ($f^1$) 33. (− και 892). 1241. *l* 844. *l* 2211 (co)

αἰτήσει⸃, μὴ ὄφιν ἐπιδώσει αὐτῷ; **11** εἰ οὖν ὑμεῖς πονηροὶ
ὄντες οἴδατε ⸂δόματα ἀγαθὰ⸃ διδόναι τοῖς τέκνοις ὑμῶν,
6,9! · Jc 1,17 πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς δώσει
ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν⁚.
**12: L 6,31** · Tob 4,15 Sir 31,15 **12** Πάντα °οὖν ὅσα ἐὰν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ 54 V
22,40!; 5,17! ἄνθρωποι, οὕτως καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς· οὗτος γάρ
ἐστιν ὁ νόμος καὶ οἱ προφῆται.
**13s: L 13,23s** · 4Esr 7,6-14 **13** Εἰσέλθατε διὰ τῆς στενῆς πύλης· ⸀ὅτι πλατεῖα ⸋ἡ 55 V
πύλη⸌ καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώ-
λειαν καὶ πολλοί °εἰσιν οἱ εἰσερχόμενοι δι᾽ αὐτῆς· **14** ⸀τί
21,32; 22,16 Dt 30,15s Jr 21,8 στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν
25,46! · 22,14! ζωὴν καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν.
**15-20: L 6,43s** · 24,11! **15** Προσέχετε ⸆ ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρ- 56 X
2T 3,5 χονται πρὸς ὑμᾶς ἐν ἐνδύμασιν προβάτων, ἔσωθεν δέ εἰ-
10,16p | 12,33 Sir 27,6 σιν λύκοι ἅρπαγες. **16** ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώ-
Jc 3,12 σεσθε αὐτούς. μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν ⸀σταφυλὰς 57 V
ἢ ἀπὸ τριβόλων σῦκα; **17** Οὕτως πᾶν δένδρον ἀγαθὸν 58 V
καρποὺς ⸉καλοὺς ποιεῖ⸊, τὸ δὲ σαπρὸν δένδρον καρποὺς
12,33 1J 3,9 πονηροὺς ποιεῖ. **18** οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς
πονηροὺς ⸀ποιεῖν οὐδὲ δένδρον σαπρὸν καρποὺς καλοὺς
3,10p! ⸁ποιεῖν. **19** πᾶν ⸆ δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκ-
| 16! κόπτεται καὶ εἰς πῦρ βάλλεται. **20** ἄρα γε ἀπὸ τῶν καρ-
πῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς.
**21-23: L 6,46; 13,26s** 26; 21,29 R 2,13 Jc 1,22! **21** Οὐ πᾶς ὁ λέγων μοι· κύριε κύριε, εἰσελεύσεται εἰς 59 III
τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ᾽ ὁ ποιῶν τὸ θέλημα τοῦ
6,10! 1J 2,17 πατρός μου τοῦ ἐν °τοῖς οὐρανοῖς. ⸆ **22** πολλοὶ ἐροῦσίν 60 V

**11** ⸂αγαθα δοματα *f*$^{1}$ it vg$^{cl}$ ¦ αγαθα L ff$^{1}$ l vg$^{st}$ | [⁚ ;] • **12** °א* L 1424 sy$^{p}$ bo$^{mss}$ • **13** ⸀και τι 118* ¦ τι a b h l q vg$^{mss}$ | ⸋א* a b c h k; Cl Hipp Or$^{pt}$ Cyp | °א*; Cl • **14** ⸀οτι א* 700$^{c}$ sa$^{mss}$ mae bo ¦ οτι δε B* sa$^{mss}$ ¦ τι δε B$^{2}$ ¦ και 209 ¦ *txt* א$^{1}$ C K L N W Δ Θ *f*$^{1.13}$ 565. 579. 700*. 892. 1241. 1424. *l* 844 𝔐 lat sy • **15** ⸆δε C K L W Δ Θ 0281 *f*$^{1.13}$ 33. 579. 700. 892. 1241. *l* 844 𝔐 f q sy$^{h}$ sa$^{mss}$ bo ¦ *txt* א B 565. 1424 lat sy$^{c.p}$ sa$^{mss}$ mae • **16** ⸀σταφυλην C$^{(*).2}$ K L W Δ Θ *f*$^{13}$ 565. 579. 700. 1241. 1424. *l* 844 𝔐 ¦ *txt* א B 0281 *f*$^{1}$ 892 lat sy$^{h}$ co • **17** ⸉B* vg$^{mss}$ • **18** ⸀ενεγκειν B; Or$^{pt}$ Ad ¦ *txt* א C K L W Z Δ Θ 0281 *f*$^{1.13}$ 33. 565. 579. 700. 892. 1241. 1424. *l* 844 𝔐 latt sy; Or$^{pt}$ | ⸁ενεγκειν א*; Or$^{pt}$ ¦ *txt* א$^{1}$ B C K L W Z Δ Θ *f*$^{1.13}$ 33. 565. 579. 700. 892. 1424. *l* 844 𝔐 lat sy; Or$^{pt}$ • **19** ⸆ουν C$^{vid}$ L Z *f*$^{13}$ 33. 1241 it sy$^{c}$ sa mae bo$^{mss}$ • **21** °K L W *f*$^{13}$ 565. 579. 700. 1241. *l* 844 𝔐 ¦ *txt* א B C Z Δ Θ 0281$^{vid}$ *f*$^{1}$ 33. 892. 1424; Did | ⸆αυτος (ουτος C$^{2}$ 33. 1241) εισελευσεται εις την βασιλειαν των ουρανων C$^{2}$ W Θ 33. 1241 lat sy$^{c}$; Cyp

μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· κύριε κύριε, οὐ τῷ σῷ ὀνόματι Jr14,14; 27,15
ἐπροφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δαιμόνια ⸆ ἐξεβά- 10,1p.8 Mc9,38p
λομεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν;
**23** καὶ τότε ὁμολογήσω αὐτοῖς ὅτι οὐδέποτε ἔγνων ὑμᾶς· 25,12
⸀*ἀποχωρεῖτε ἀπ’ ἐμοῦ* ⸆ *οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.* 25,41 *Ps6,9* · 13,41 1J3,4 · 23,28; 24,12
61 V **24** Πᾶς οὖν ὅστις ἀκούει μου τοὺς λόγους °τούτους καὶ **24-27: L6,47-49** · Jc 1,22!
ποιεῖ αὐτούς, ⸀ὁμοιωθήσεται ἀνδρὶ φρονίμῳ, ὅστις ᾠκο- 10,16; 24,45; 25,2.4
δόμησεν αὐτοῦ τὴν οἰκίαν ἐπὶ τὴν πέτραν· **25** καὶ κατέβη 16,18
ἡ βροχὴ καὶ ἦλθον οἱ ποταμοὶ καὶ ἔπνευσαν οἱ ἄνεμοι καὶ Job1,19
⸀προσέπεσαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἔπεσεν, τεθεμε-
λίωτο γὰρ ἐπὶ τὴν πέτραν. **26** Καὶ πᾶς ⸂ὁ ἀκούων⸃ μου | Jc1,22!
τοὺς λόγους τούτους καὶ μὴ ⸀ποιῶν αὐτοὺς ὁμοιωθήσεται
ἀνδρὶ μωρῷ, ὅστις ᾠκοδόμησεν ⸉αὐτοῦ τὴν οἰκίαν⸊ ἐπὶ 25,2s
τὴν ἄμμον· **27** καὶ κατέβη ἡ βροχὴ καὶ ἦλθον οἱ ποταμοὶ Is28,17-19 Ez13,10-15
καὶ ἔπνευσαν οἱ ἄνεμοι καὶ ⸀προσέκοψαν τῇ οἰκίᾳ ἐκεί-
νῃ, καὶ ἔπεσεν καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλη⸆.
62 II **28** Καὶ ἐγένετο ὅτε ⸀ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους **28s: Mc1,21s L4,31s** 11,1; 13,53; 19,1; 26,1
τούτους, ἐξεπλήσσοντο ⸂οἱ ὄχλοι⸃ ἐπὶ τῇ διδαχῇ αὐτοῦ· L7,1 · 13,54p; 19,25p;
**29** ἦν γὰρ διδάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων καὶ οὐχ ὡς 22,33 | J7,46 · 9,6.8;
οἱ γραμματεῖς °αὐτῶν⸆. 10,1; 21,23; 28,18

*6* 63 II **8** ⸂Καταβάντος δὲ αὐτοῦ⸃ ἀπὸ τοῦ ὄρους ἠκολούθησαν 5,1!
αὐτῷ ὄχλοι πολλοί. **2** καὶ ἰδοὺ λεπρὸς ⸀προσελθὼν **2-4: Mc1,40-45**
προσεκύνει αὐτῷ λέγων· κύριε, ἐὰν θέλῃς δύνασαί με **L5,12-16** · 10,8; 11,5p
καθαρίσαι. **3** καὶ ἐκτείνας τὴν χεῖρα ἥψατο αὐτοῦ ⸆ λέ- 15; 9,29; 17,7; 20,34; 9,20! Mc1,41! L5,13!

**22** ⸆πολλα ℵ* • **23** ⸀αναχωρειτε Θ $f^{13}$ | ⸆παντες L Θ $f^{13}$ 1424 b vg$^{s}$ • **24** ° B* 1424 a g$^{1}$ k mae bo$^{ms}$ | ⸀ομοιωσω αυτον C K L W Δ 565. 579. 1424 𝔐 f h k q sy$^{c.h}$ bo; Cyp ¦ *txt* ℵ B Z Θ 0281 $f^{(1).13}$ 33. 700. 892. 1241. *l* 844 ff$^{1}$ l vg sy$^{p.hmg}$ sa mae; Or Did • **25** ⸀προσεκρουσαν W ¦ *p)* προσερρηξαν Θ 579; Eus ¦ προσεκοψαν 1424 • **26** ⸂οστις ακουει Θ $f^{13}$ | ⸀ποιει Θ $f^{13}$ | ⸉ C K L Γ Δ $f^{13}$ 565. 579. 1424. *l* 844 𝔐 ¦ *txt* ℵ B W Z (Θ) $f^{1}$ 700. 892. 1241 • **27** ⸀προσερρηξαν C Θ $f^{1}$ ¦ προσεκρουσαν $f^{13}$ | ⸆σφοδρα Θ $f^{13}$ 33. 1241$^{c}$ mae • **28** ⸀συνετελεσεν K L Δ Θ 579. 1241. *l* 844 𝔐 ¦ *txt* ℵ B C W Z$^{vid}$ Γ $f^{1.13}$ 33. 565. 700. 892. 1424; Or | ⸂παντες 998; Eus ¦ παντες οι οχλοι Δ Θ $f^{1}$ (vg$^{ms}$) • **29** ° C* L Γ 565. 700. 1424 𝔐 (b) | ⸆και οι Φαρισαιοι C* W 33. 1241 lat sy; Eus$^{pt}$

¶ **8,1** ⸂καταβαντι δε αυτω (–Δ) ℵ* K L Γ Δ 565. 579. 1241. 1424 𝔐 k? • **2** ⸀ελθων C K L W Γ 33. 579. 1241. *l* 844 𝔐 ¦ – 1424 • **3** ⸆ο Ιησους C$^{2}$ K L N W Γ Δ Θ 565. 579. 700. 1241. (1424). *l* 844. *l* 2211 𝔐 lat sy$^{c.p.h}$ sa$^{ms}$ mae ¦ *txt* ℵ B C* $f^{1.13}$ 33. 892 k sa$^{mss}$ bo; Cyr

γων· θέλω, καθαρίσθητι· καὶ εὐθέως ἐκαθαρίσθη αὐτοῦ
9,30; 12,16p; 16,20p; 17,9p ἡ λέπρα. **4** καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· ὅρα μηδενὶ εἴπῃς,
Lv 14,2-32 ἀλλ’ ὕπαγε σεαυτὸν δεῖξον τῷ ἱερεῖ καὶ προσένεγκον τὸ
10,18p; 24,14p δῶρον ὃ προσέταξεν Μωϋσῆς, εἰς μαρτύριον αὐτοῖς.
**5-13: L 7,1-10** **5** ⸂Εἰσελθόντος δὲ αὐτοῦ⸃ εἰς Καφαρναοὺμ προσῆλθεν *7* 64
**J 4,46-54** · 4,13! 27,54p αὐτῷ ⸀ἑκατόνταρχος παρακαλῶν αὐτὸν **6** καὶ λέγων· III
4,24! °κύριε, ὁ παῖς μου βέβληται ἐν τῇ οἰκίᾳ παραλυτικός,
δεινῶς βασανιζόμενος. **7** °καὶ λέγει αὐτῷ⸆· ἐγὼ ἐλθὼν
θεραπεύσω αὐτόν⁝. **8** ⸂καὶ ἀποκριθεὶς⸃ ὁ ⸀ἑκατόνταρχος
3,11p 1K 15,9 ἔφη· κύριε, οὐκ εἰμὶ ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσ-
16 έλθῃς, ἀλλὰ μόνον εἰπὲ λόγῳ, καὶ ἰαθήσεται ⸋ὁ παῖς
μου⸌. **9** καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν⸆, ἔχων
ὑπ’ ἐμαυτὸν στρατιώτας, καὶ λέγω τούτῳ· πορεύθητι, καὶ
πορεύεται, καὶ ἄλλῳ· ἔρχου, καὶ ἔρχεται, καὶ τῷ δούλῳ
μου· ποίησον τοῦτο, καὶ ποιεῖ. **10** ἀκούσας δὲ ὁ Ἰησοῦς
Mc 6,6 ἐθαύμασεν καὶ εἶπεν τοῖς ἀκολουθοῦσιν· ἀμὴν λέγω
15,28 ὑμῖν, ⸂παρ’ οὐδενὶ τοσαύτην πίστιν ἐν τῷ Ἰσραὴλ⸃ εὗρον.
**11s: L 13,28s** · Ps 107,3 Is 43,5 Bar 4,37 **11** Λέγω δὲ ὑμῖν ὅτι πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν 65 V
Is 2,2s; 25,6; 60,3 Jr ἥξουσιν καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ
3,17 · L 16,22 · 22,32p 4Mcc 13,17 | καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, **12** οἱ δὲ υἱοὶ τῆς
13,38 · 22,13; 25,30 βασιλείας ⸀ἐκβληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον·
13,42.50; 24,51 · Ps 112,10 ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.
9,29; 15,28; 9,22! **13** καὶ εἶπεν ὁ Ἰησοῦς τῷ ⸀ἑκατοντάρχῃ· ὕπαγε, ⸆ ὡς ἐπί- 66 V

**5** ⸂εισελθοντι δε αυτω K L N W Γ Δ Θ 579. 892. 1424. (565. *l* 844. *l* 2211) 𝔐 ¦ εισελθοντι τω Ιησου C$^{3}$ ¦ *txt* ℵ B C* Z *f*$^{1.13}$ 33. 700. 1241; Or | ⸀χιλιαρχος sy$^{s.hmg}$; Eus • **6** ° ℵ* k sy$^{s.c}$; Hil • **7** ° B 700 it vg$^{ww}$ sy$^{p}$ sa mae bo$^{mss}$ ¦ *txt* ℵ C K L N W Γ Δ Θ *f*$^{1.13}$ 33. 565. 579. 892. 1241. 1424. *l* 844. *l* 2211 𝔐 lat sy$^{h}$ bo | ⸆ ο Ιησους C K L N W Γ Δ Θ *f*$^{1.13}$ 33. 565. 579. 700. 1241. 1424. *l* 844. *l* 2211 𝔐 lat sy$^{c.p.h}$ sa mae bo$^{mss}$ ¦ *txt* ℵ B 892 k sy$^{s}$ bo | [⁝ ;] • **8** ⸂αποκριθεις δε ℵ* B 33 sa ¦ *txt* ℵ$^{1}$ C K L N W Γ Δ Θ *f*$^{1.13}$ 565. 579. 700. 892. 1241. 1424. *l* 844. *l* 2211 𝔐 lat bo | ⸀χιλιαρχος sy$^{s.hmg}$; Eus | ⸋ *f*$^{1}$ k sa mae bo$^{mss}$ • **9** ⸆ *p)* τασσομενος ℵ B it vg$^{cl}$ (sa bo) • **10** ⸂ *p)* ουδε εν τω Ισραηλ τοσαυτην πιστιν ℵ C K L N Γ Δ Θ *f*$^{13}$ 33. 565. 579. 700. 1241. 1424. *l* 844. *l* 2211 𝔐 lat sy$^{(s).p.h}$ ¦ *1–4* *f*$^{1}$ ¦ *txt* B W (0281. 892) a (g$^{1}$) k q sy$^{(c.hmg)}$ co • **12** ⸀εξελευσονται ℵ* k sy; Did$^{pt}$ ¦ ibunt it; Ir$^{lat}$ • **13** ⸀χιλιαρχω sy$^{s}$; Eus | ⸆ και C K L N Γ Δ Θ *f*$^{1.13}$ 33. 565. 579. 700. 892. 1241. 1424. *l* 844. *l* 2211 𝔐 lat sy$^{h}$ bo$^{ms}$ ¦ *txt* ℵ B W 0281 it sy$^{s.c.p}$ co; Ir$^{lat}$